νβ'. Τῇ δεκάτῃ δ' ἀγορήνδε καλέσσατο λαὸν Ἀχιλλεύς) Αὐτοκράτωρ γὰρ, οὐ μισθωτὸς ἦν, τὴν δὲ ϛρατιὰν ὁ θέλων συνῆγε. συνάγει μὲν γὰρ Ὀδυσσεὺς ἐν τῇ ιβ'. καὶ Ἀχιλλεὺς ἐν τῇ ιγ'. ἄλλως τε καὶ αὐτὸς ἡγεῖται τῆς ὑπαίθρου ϛρατιᾶς. ὅτι γὰρ οὐ τυραννὶς τοῦτο ἦν, ἐκ τῶν λόγων αὐτῶν δῆλον, καὶ μάλιϛα τῶν ἐν ταῖς λιταῖς.

νγ'. Θεὰ λευκώλενος Ἥρη) Προϊὼν ἤδη καὶ τοὺς ἐπικούρους Θεοὺς διασαφεῖ, τοῦτο μὲν τὸ προνοητικὸν ἐνδεικνύμενος, τοῦτο δὲ καὶ φαντασίαν παρενθείς.

νδ'. Κήδετο γὰρ Δαναῶν, ὅτι ῥα θνήσκοντας ὁρᾶτο) Πῶς ἡ τῆς μήνιδος αἰτία γενομένη, τούτων ἐκήδετο; ῥητέον ὅτι συνέφερε τὸν Ἀχιλλέα μηνίσαι, ἵνα θαῤῥήσαντες οἱ Τρῶες προέλθωσι, καὶ νικηθῶσιν ἐκ τοῦ ἴσου μαχόμενοι. εἰ γὰρ ἐν τῇ πόλει ἔμειναν πολιορκούμενοι, μικρὸς ἂν ἦν, καὶ ἀτελεύτητος ὁ πόλεμος.

νε'. Ὅτι ῥα θνήσκοντας) Δασυντέον τὸ ῥά. πάσης γὰρ λέξεως τὸ ρ ἀρχόμενον δασύνεται, [1] πλὴν τοῦ ῥάρος.

50. Non dixit emittebantur, ſed inſtar rei animatæ progrediebantur.

51. Quemadmodum τὸ δόρυ commune eſt & proprium; ſic & κῆλον, *jaculum*. Vel κῆλα vocat terrores, vel combuſtionis cauſſas.

52. Imperator enim, non mercede conductus erat; & quum luberet ei, exercitum congregabat. Congregat enim Ulyſſes in lib. XII. & Achilles in XIII. præſertim quum ipſe exercitus ſub dio degentis dux eſſet. Quod autem hoc tyrannidis non eſſet, perſpicuum eſt ex ipſiſmet verbis, iis vel maxime, quæ in precibus occurrunt.

53. In orationis progreſſu auxiliarios quoque Deos declarat, partim ad Deorum providentiam oſtendendam partim ad interjiciendum imaginem.

54. Quomodo quæ iræ cauſſa fuit, horum curam gerit? Scilicet expediebat Achillem iraſci, ut Trojani fiducia erecti, in medium prodirent, & æquo marte pugnantes vincerentur. Si enim in urbe obſidione cincti manſiſſent, exiguum, & imperfectum fuiſſet bellum.

55. Particula ῥά ſpiritu aſpero notanda eſt; omnis enim dictio a rho incipiens, aſpiratur, præter ῥάρος.

Οἱ δ' ἐπεὶ οὖν ἤγερθεν, ὁμηγερέες τ' ἐγένοντο,
Τοῖσι δ' ἀνιϛάμενος μετέφη πόδας ὠκὺς Ἀχιλλεύς.
Ἀτρείδη, νῦν ἄμμε παλιμπλαγχθέντας ὀίω

Hi autem poſtquam congregati ſunt, in unumque convenerunt,
Inter eos ſurgens locutus eſt pedes velox Achilles,
Atride, nunc nos iterum errantes puto

ἂψ *Retro-*

1. Πλὴν τοῦ ῥάρος) Scholiaſtes ab univerſali illa regula excipit, ut vides, vocem ῥάρος, quæ tamen in omnibus editionibus, quas præ manibus habuimus, aſpiratur, ex quo apparet nos veram pronunciandi rationem multo abhinc tempore amiſiſſe.

Digitized by Google

Ἂψ ἀπονοστήσειν, εἴκεν θάνατόν γε φύγοιμεν.
Εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς.
Ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν, ἢ ἱερῆα,
Ἢ καὶ ὀνειροπόλον (καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστιν)

Retroceſſuros (modo mortem effugerimus)
Siquidem ſimul bellumque domat & peſtis Achivos.
Quare age aliquem vatem conſulamus, vel ſacerdotem,
Vel & conjectorem (etenim ſomnium quoque ab Jove eſt)

νϛ'. Ἐπεὶ οὖν ἤγερθεν) Κατ' ὀλίγον γὰρ συνιόντες πληθύνονται.

56. Paulatim enim convenientes in unum multiplicantur.

νζ'. Ἀτρείδη, νῦν ἄμμε) Κατιδίαν τὸ Ἀτρείδη. κλητικὴ γάρ ἐστι, καὶ αὐτοτελής. οὐ μέντοι ἐν τῷ, Ἀτρείδη κύδιστε ἄναξ ἀνδρῶν. σχεδὸν δὲ πᾶσαι μιᾶς ἔχονται συντάξεως.

57. Seorſum a ſequentibus illud Ἀτρείδη, *Atride* proferendum eſt, quippe quum ſit vocativ. & per ſe abſolutum. Non ita tamen ſe res habet ibi, Ἀτρείδη κύδιστε ἄναξ ἀνδρῶν, *Atride glorioſiſſime rex virorum*; ferme enim omnes eæ voces unam eandemque conſtructionem ſequuntur.

νη'. Νῦν ἄμμε παλιμπλαγχθέντας) [1] Γρ' ἐν Ἀρίσταρχος τὸ παλιμπλαγχθέντας. τὸ πάλιν δὲ σημαίνει τὸ εἰς τοὐπίσω, ἤτοι μάτην ἀπράκτως ὑποστρέψαντας.

58. Ariſtarchus eam vocem παλιμπλαγχθέντας conjunctim effert; illud autem πάλιν ſignificat εἰς τοὐπίσω, *retrorſum*; vel fruſtra, rebus infectis redeuntes.

νθ'. Ἀλλ' ἄγε δή τινα μάντιν) Ἡρωδιανὸς τελείαν δίδωσιν εἰς τὸ μάντιν, [2] ἵνα ᾖ γενικόν. ὁ δὲ Πορφύριος μάντιν λέγει τὸν διὰ οἰωνῶν, ἢ σημείων, ἢ τεράτων μαντευόμενον. ἱερέα τὸν διὰ θυσιῶν. ὀνειροπόλον δὲ, τὸν ὀνειροπολούμενον θεατὴν ὀνείρου γεγονότα.

59. Herodianus abſolutam ſignificationem voci μάντιν, *vatem* tribuit, ut ſit generalis; Porphyrius vero μάντιν dicit eſſe eum qui per auſpicia, vel ſigna, aut portenta vaticinatur; ἱερέα, qui per victimas; ὀνειροπόλον denique, qui circa ſomnia verſatur, ſomniorum ſpectator.

ξ'. Μάντιν ἐρείομεν, ἢ ἱερῆα) Ἄλογον ζητεῖν παρὰ ἱερέως πυθέσθαι περὶ τῶν μελλόντων. οὐ γὰρ δὴ μάντεις οἱ ἱερεῖς. οἱ δὲ ὀνειροπόλοι, μηδενὸς ὀνείρου νῦν ζητουμένου, παρέλκουσι. λύεται δὲ ἐκ τῆς λέξεως. τὸν γὰρ νῦν λεγόμενον θύτην, ἱερέα φαίνονται καλοῦντες

60. Abſurdum id eſt quod quæreret a ſacerdote futura intelligere; non enim ſacerdotes vates ſunt: interpretes vero ſomniorum, quippe quum hoc loco nullum ſomnium occurrat, ſupervacanei ſunt. Solvitur hæc difficultas ex ipſiſmet verbis; quem

C enim

1. Γρ' ἐν Ἀρίσταρχος τὸ παλιμπλαγχθέντας) Heſychius: παλιμπλαγχθέντας, ὀπίσω πλανηθέντας, ἤ οἱ ὑποστρέψαντες εἰς τοὐπίσω, ἢ πλανηθέντες. Id contra eos qui aſſerunt τὸ πάλιν eo loco ſignificare ἐκ δευτέρου, *ſecundo*.
2. Ἵνα ᾖ γενικόν.] Congruit hoc cum eo, quod habet Scholiaſtes in edit. Barneſii. ἔστι γὰρ

τες πάλαι. ὥσπερ καὶ ἑτέρωθεν. εἰ [1] μὲν γάρ τις μ' ἄλλος ἐπιχθονίων ἐκέλευεν, ἢ οἱ μάντιές εἰσι θυοσκόοι, ἢ ἱερῆες. ὁ δὲ ὀνειροπόλος αὐτὸς δρᾷ ὑπὲρ ὀνείρους.

ξά. Καὶ γάρ τ' ὄναρ) ἤτοι τὸ τέλειον. ἐπεὶ δὲ τὸ ὄναρ σαθρόν ἐστιν, ὕψωσεν αὐτὸ τῇ προσθήκῃ.

Ἄλλο. Διατί διττοὺς λέγων τοὺς ὀνείρους, καὶ τοὺς μὲν αὐτῶν ψευδεῖς, τοὺς δὲ ἀληθεῖς, ὡς πάντων αὐτῶν ἀληθινῶν ὄντων, φησὶν, ἢ καὶ ὀνειροπόλον. καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστιν, ὡς τῶν ὀνείρων ἐκ Διὸς ὄντων. λύεται δὲ ἀπὸ συναλοιφῆς. [2] οὐ γάρ τε σύνδεσμος συναλήλιπται, ἀλλὰ τὸ τὶ μόριον. ἔστι γὰρ πλῆρες. καὶ γάρ τι ὄναρ ἐκ Διός ἐστι. τὸ δὲ ὀνειροπόλον οὐ σημαίνει τὸν ὀνειροκρίτην, ὥς τινες ἐξεδέξαντο, τὸν περὶ τοὺς ὀνείρους διατρίβοντα. οὐδὲν γὰρ ὄναρ ὤφθη, ἀλλὰ σημαίνει τὸν ὀνειροπολούμενον, τὸν κατοχον ὀνείροις, καὶ θεατὴν ὀνείρου εἰς αὐτὸν ἐλθόντος γεγονότα.

ξβ'. Καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστι) Τὸ ἐστὶν ἐγκλιτικόν ἐστιν, εἰ μὴ ἄρχεται, ἢ μὴ προηγεῖται αὐτοῦ ἡ οὐ ἀπόφασις.

Ὅς

enim θύτην nunc appellant, ἱερέα, *ſacerdotem* Veteres dixerunt, ut & alibi: *nam ſi alius quidem me terreſtrium juſſiſſet, ſeu qui vates ſunt aruſpices, vel ſacerdotes*. Ille vero qui ὀνειροπόλος dicitur ipſe circa ſomnia operatur.

61. Somnium videlicet perfectum. Quoniam vero ſomnium vietum quid atque caducum eſt, iccirco eo extulit additamento.

Aliud. Quare quum duplicis generis ſomnia eſſe ſtatuat, alia falſa alia vera, dicit: *etenim ab Jove ſomnium eſt*, perinde ac ſi omnia vera ſint, quum ab Jove proficiſcantur? Solutio patet ex ſynalœphe, quæ non ex copula τὲ, ſed ex particula τὶ facta eſt. Integra oratio ſic habet, καὶ γάρ τι ὄναρ ἐκ Διός ἐστι, *etenim aliquod ſomnium ab Jove eſt*. Vox autem ὀνειροπόλον non ſignificat τὸν ὀνειροκρίτην, ut quidam expoſuerunt, eum videlicet, qui circa ſomnia verſatur; nullum enim hoc loco ſomnium occurrit; ſed ſonat τὸν ὀνειροπολούμενον, eum ſcilicet qui per ſomnia, quæ ſibi apparuerunt futura prædicit.

62. Verbum ἐστὶ in præcedentem dictionem accentum transfert, niſi initio periodi occurrat, vel præcedat particula negativa οὐ, *non*.

Qui

γένος τῆς μαντικῆς, διαιρούμενον εἰς εἴδη τρία εἰς θυοσκοπίαν, οἰωνοσκοπίαν, καὶ τὴν διὰ τῶν ὀνειράτων μαντείαν. Et ſane ſolet Homerus poſt genus ſpecies recenſere, ut Odyſſ. ά. v. 245. οὐ φυτὸν, οὐκ ἄμπελος, οὐ μὲν ἐλαίη, *non planta, non ficus, non vitis, ne oliva quidem*; illud enim φυτὸν genus eſt, cæteræ ſpecies. Veterum interpretum mentem ad eum locum probe intellexit Salvinus, qui italice tranſtulit: *Conſultiamo or via ſu qualche profeta, o ſacerdote, o interprete di ſogni*.

1. Εἰ μὲν γάρ τις μ' ἄλλος) Iliad. lib. XXIV. 220. 221.

2. Οὐ γάρ τε σύνδεσμος συναλήλιπται, ἀλλὰ τὸ τὶ) Omnes latini Interpretes legunt καὶ γάρ τε ὄναρ, non καὶ γάρ τι ὄναρ, ſiquidem transferunt, *etenim ſomnium ab Jove eſt*, non *ſomnium aliquod*, quos ſequitur Salvinus, qui ſic italice vertit, *Che da Giove anco è il ſogno*. His omnibus adverſatur Scholiaſta noſter, adſerens ingenioſe ſynalœphen eo loco non ex conjunctione τὲ ſed ex particula τὶ fieri, ex quo difficultatem, quam ſibi objicit, optime reſolvit.

Digitized by Google

Ὅς κ' εἴποι ὅτι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων.
Εἴτ' ἄρ ὅγ' εὐχωλῆς ἐπιμέμφεται, ἠδ' ἑκατόμβης.
Αἴκέν πως ἀρνῶν κνίσσης αἰγῶν τε τελείων
Βούλεται ἀντιάσας, ἡμῖν ἀπὸ λοιγὸν ἀμῦναι.

Qui dicat, cur tantopere iratus ſit Phoebus Apollo:
Utrum hic nos ob vota non reddita incuſet, an ob hecatomben,
Si forte agnorum nidoris caprarumque lectarum
Particeps velit a nobis peſtem depellere.

ξγ'. Εἴποι ὅτι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων) Τῶν αἰφνιδίων θανάτων αἴτιόν φασι τὸν Ἀπόλλωνα. τῷ δὲ ὅτι λείπει ἡ διά.

ξδ'. Εὐχωλῆς ἐπιμέμφεται, ἠδ' ἑκατόμβης) Ὥσπερ παρὰ τὸ παύσω παυσωλὴ, καὶ ἔλπω ἐλπωρὴ, ὅυτω παρὰ τὸ εὔχω εὐχωλή. [1] Ἑκατόμβη δὲ ἀπὸ τοῦ ἑκατὸν, καὶ τοῦ βοῦς.

ξέ. Αἴκέν πως ἀρνῶν) Περισσὸς ὁ κὲν, καὶ ἔστιν ἀντὶ τοῦ εἴ πως.

ξϛ'. Ἀρνῶν κνίσσης, αἰγῶν τε τελείων) Πυθαγορικός ἐστι μᾶλλον φιλόσοφος, ἢ στρατιώτης, ὡς δῆλον ἔκ τε τῶν νῦν καὶ ἐκ τοῦ, αὔριον ἱερὰ ῥέξας. πηγὴ γάρ τις ἐστὶ τῆς ἄλλης ἀρετῆς τὸ δοκεῖν Θεοὺς εἶναι.

ξζ. Κνίσσης.) τοῦ λίπους, καὶ τῆς ἀναθυμιάσεως, τοῦτ' ἔστι τοῦ καπνοῦ. εἴρηται δὲ κνίσση ἀπὸ τοῦ κνίζω, κνίσω, ὃ σημαίνει τὸ λεπτύνω. λεπτότατος γάρ ἐστιν ὁ ἐπίπλους, τοῦτ' ἔστι τὸ λεγόμενον κνισάριον. τοιοῦτον δέ ἐστι καὶ τὸ, [2] συκάμινα κνίζων, ὡσανεὶ τῷ ὄνυχι ..... καὶ ἐν τῷ νόμῳ. ἀποκνιεῖ ὁ ἱερεὺς τὸ ὁλοκάρπωμα.

63. Subitas has mortis cauſſas in Apollinem referunt: deficit vero propoſitio διὰ, quæ voci ὅτι præfigenda eſſet.

64. Quemadmodum a παύσω fit παυσωλὴ, & ab ἔλπω ἐλπωρὴ, ſic ab εὔχω manat εὐχωλή.

65. Redundat particula κὲν, eſtque pro εἴπως, *ſiquomodo*.

66. Pythagoreus magis philoſophus eſt quam miles; ut perſpicuum eſt, tum ex his, quæ hoc loco dicuntur, tum ex eo: *cras Jovi ſacrificium offerens*; fons enim quidam eſt cæterarum virtutum putare Deos exiſtere.

67. Κνίσσης. Pinguedin is, & vaporis, hoc eſt fumi. Dicitur autem κνίσση a κνίζω, κνίσω, quod ſignificat extenuo; tenuiſſimis enim particulis conſtat ὁ ἐπίπλους, quod videlicet omentum, vel adeps appellatur. Tale quoque eſt illud συκάμινα κνίζων, *vellicans mora*, videlicet ungue .... Et in lege Dei. ἀποκνιεῖ ὁ ἱερεὺς τὸ ὁλοκάρπωμα, *concidet in fruſta Sacerdos victimam pro holocauſto*.

1. Ἑκατόμβη δὲ ἀπὸ τοῦ ἑκατὸν καὶ βοῦς] Proprie enim Hecatombe erat ſacrificium centum boum; καταχρηστικῶς *abuſive* tamen de aliis quoque animalibus accipitur, ut liquet ex Pind. Pyth. Od. 10. ubi κλειτὰς ὄνων ἑκατόμβας, *inclitas aſinorum hecatombas* apud Hyperboreos memorat.

2. Συκάμινα κνίζων) Amos VII. 14. αἰπόλος ἤμην κνίζων τὰ συκάμινα, *armentarius ego ſum vel-*

ξή. Ἡμῖν ἀπὸ λοιγὸν ἀμῦναι) Ὀρθοτονεῖται τὸ ἡμῖν. ἀρκτικὸν γάρ ἐστι κατὰ τὴν τῆς ἀπὸ σύνταξιν, ὅτι πρὸ τὸ ἀμῦναι ἡ ἀπὸ φέρεται.

68 Pronomen ἡμῖν, *nobis* recto tono profertur; initio enim orationis ponitur, juxta conſtructionem præpoſitionis ἀπὸ, quæ verbo ἀμῦναι præfigitur.

Ἤτοι ὅγ' ὣς εἰπὼν, κατ' ἄρ' ἕζετο. τοῖσι δ' ἀνέστη
Κάλχας Θεστορίδης, οἰωνοπόλων ὄχ' ἄριστος,
Ὃς ᾔδη τά τ' ἐόντα, τά τ' ἐσσόμενα, πρό τ' ἐόντα,
Καὶ νήεσσ' ἡγήσατ' Ἀχαιῶν Ἴλιον εἴσω.
Ἣν διὰ μαντοσύνην, τήν οἱ πόρε Φοῖβος Ἀπόλλων.
Ὅ σφιν ἐϋφρονέων ἀγορήσατο, καὶ μετέειπεν,
Ὦ Ἀχιλεῦ, κέλεαί με Διῒ φίλε μυθήσασθαι
Μῆνιν Ἀπόλλωνος ἑκατηβελέταο ἄνακτος.

Ille quidem ſic locutus reſedit: interque eos ſurrexit
Calchas Theſtorides augurum longe optimus,
Qui noverat & præſentia, & futura, & præterita
Et navibus dux fuerat Achivorum ad Ilium,
Sua vaticinandi arte, quam ei dederat Phœbus Apollo:
Qui cordatus ipſis concionatus eſt, & dixit,
O Achilles, jubes me, Jovi care, eloqui
Iram Apollinis longe jaculantis regis.

ξθ'. Κάλχας Θεστορίδης) Ὅρα πῶς ἐν ἀρχῇ διασαφεῖ τὰ ὀνόματα, ὡς καὶ ἑτέρου ὑπάρχοντος.

69. Vide quomodo initio declaret nomina, perinde ac ſi alius ejuſdem nominis eſſet.

ό. Τά τ' ἐόντα, τά τ' ἐσσόμενα) Τὰς αἰτίας φησὶν, ἐπεὶ τὸν λοιμὸν πάντες ᾔδεισαν, οὐ μὴν τὴν αἰτίαν αὐτοῦ.

70. Cauſſas dicit; quandoquidem omnes peſtem noverant, minime tamen ejus cauſſam.

οά. Καὶ νήεσσ') Διὰ τὰς διοσημίας. πειθόμενοι γάρ φησι τεράεσσι Θεῶν.

71. Per Deorum portenta; *Obtemperantes enim*, ait, *portentis Deorum*.

οβ'. Τήν οἱ πόρε Φοῖβος) Τὰς εἰς ἄκρον εὐεξίας Θεῶν εἶναι δῶρά φησι.

72. Bonos habitus, qui ad ſummum pervenerunt, Dei dona eſſe dicit.

Ἄλλο. [1] Φοῖβον συνεχῶς εἴωθεν ὀνομάζειν τὸν Ἀπόλλωνα, οὐκ ἀπὸ Φοίβης, ἣν Λητοῦς φασιν εἶναι μητέρα. σύνηθες γὰρ Ὁμήρῳ τοῖς πατρόθεν ἐπιθέτοις χρῆσθαι, τὰ δὲ μητρῷα οὐκ ἂν εὕροις ὅλως παρ' αὐτῷ. Φοῖβον οὖν αὐτὸν ἀπὸ τῶν ἀκτίνων ὀνομάζει ὡς λαμπρὸν, τὸ μόνον ἡλίῳ προσὸν ἐξ ἴσου κοινώσας Ἀπόλλωνι, καὶ μούσαις.

Aliud. Conſuevit ſemper Apollinem Phœbi epitheto denominare non ab avia Phœbe, quam Latonæ matrem eſſe ajunt. Solet enim Homerus epithetis uti patronymicis; ex materno autem genere ducta plane nuſquam apud eum reperias. Phœbum itaque a radiis denominat, tanquam lucidum, quod ſoli duntaxat ineſt ex æquo Apollini muſiſque tribuens.

ογ' 73.

licans mora. Ubi vocem hebraicam בולס quam LXX. Interpretes tranſlulerunt κνίζων, *vellicans*, Aquila interpretatus eſt ἐρευνῶν, *ſcrutans*; Symmachus ἔχων, *habens*; Theodotio χαράκων, *incidens*, ut habetur in Hexaplis.

1 Φοῖβον συνεχῶς) Eadem omnino habet Heraclitus in Allegoriis.

ογ'. Ο῞ σφιν ἐΰφρονέων) Πρὸς τὴν τῦ βασιλέως ἀβελτηρίαν.

73. Contra Regis imprudentiam.

Τοὶ γὰρ ἐγὼν ἐρέω. σὺ δὲ σύνθεο, καί μοι ὄμοσσον,
Η῏ μέν μοι πρόφρων ἔπεσιν καὶ χερσὶν ἀρήξειν.
Η῏ γὰρ ὀΐομαι ἄνδρα χολωσέμεν, ὃς μέγα πάντων
Α᾿ργείων κρατέει, καί οἱ πείθονται Α᾿χαιοί.
Κρείσσων γὰρ βασιλεὺς ὅτε χώσεται ἀνδρὶ χέρηϊ,
Εἴ περ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ,
Α᾿λλά τε καὶ μετόπισθεν ἔχει κότον ὄφρα τελέσσῃ
Ε᾿ν στήθεσσιν ἑοῖσι. σὺ δὲ φράσαι εἴ με σαώσεις.

Tibi quidem ego dicam : ſed tu paciſcere, & mihi jura,
Omnino te mihi propenſum verbis, & manibus opem laturum.
Profecto enim credo virum iratum iri, qui longe lateque omnibus
Argivis imperat, cuique obediunt Achivi.
Potentior enim rex quando iraſcitur viro inferiori,
Quamvis equidem iram vel eodem die concoquat,
At certe & poſtea retinet ſimultatem donec perfecerit
Suo in pectore. tu itaque perpende num ſis me ſervaturus.

οδ'. Τοὶ γὰρ ἐγὼν ἐρέω) Οὐκ ἔστιν ἀντωνυμία ἡ τοί. οὐδέποτε γὰρ ἀρκτική ἐστιν, ἀλλ᾿ ἀντὶ τοῦ δή.

74. Non eſt pronomen vox illa τοὶ, nunquam enim orationis initio ponitur; ſed hoc loco idem ſonat ac δὴ, *ſane*.

οε'. Καί μοι ὄμοσσον, ἦ μέν μοι πρόφρων ἔπεσιν) Οὐκ ἀπιστῶν τῷ Α᾿χιλλεῖ προβάλλει τὸν ὅρκον, ἀλλ᾿ ἵνα ἔχῃ πρόφασιν πρὸς τὸν βασιλέα. ὃ συνεὶς Α᾿χιλλεὺς οὐκ ἀγανακτεῖ ἀπιστούμενος, ἀλλ᾿ ἑτοίμως ὄμνυσι.

75. Haudquaquam quia Achilli non crederet jusjurandum proponit; ſed ut validam cauſſam apud regem haberet, quod cum probe intelligat Achilles, non indignatur tanquam ei fides non habeatur, ſed alacri animo jurat.

ος'. Η῏ μέν μοι πρόφρων ἔπεσι) Α᾿ντὶ τοῦ ἦ μήν. ἔστι δὲ ἐπίῤῥημα ὁρκικόν. [1] Διὸ βαρύνομεν τὸν ἦ. εἰ γὰρ περισπάσομεν, ἔσται βεβαιωτικός.

76. Pro ἦ μήν. Eſt autem adverbium, quod in jurejurando adhiberi ſolet. Quo circa accentu gravi notamus particulam ἦ, ſi enim circumflecteremus, eſſet confirmativa.

οζ' Η῏ γὰρ ὀΐομαι) Ω῾ς ἐπιδιστάζων εἶπε τὴν ἐσομένην αὐτῷ μῆνιν.

77. Dubitans quodammodo futuram contra ſe Agamemnonis iram prædicit.

οη' Κρείσσων γὰρ βασιλεὺς) Μέλλων βαρύνειν τὸν βασιλέα, προσαπολογεῖται αὐτῷ. Ζηνόδοτος δὲ κρείσσω γράφει. ἀθετεῖ δὲ καὶ τὸν στίχον κακῶς.

78. Moleſtia regem affecturus pro excuſatione ea verba protulit. Zenodotus vero ſcribit κρείσσω. Idem præterea rejicit verſum illum, ſed male.

οθ'. 79.

1 Διὸ βαρύνομεν τὸν ἦ) In plerifque editionibus circumflectitur, quod optimæ rationi ab Interprete noſtro allatæ adverſatur.

Digitized by Google

οθ'. Ἔχει κότον ὄφρα τελέσσῃ) Ἔδειξε διαφορὰν κότου πρὸς χόλον. ὑποφαίνει δὲ διὰ πάντων τὸ ὕπουλον μὲν Ἀγαμέμνονος, Ἀχιλλέως δὲ ἁπλῦν.

79. Oſtendit diſcrimen, quod *κότον* inter & *χόλον* intercedit. Ubique autem Agamemnonis verſutiam, & Achillis ſimplicitatem ſubobſcure ſignificat.

Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς.
Θαρσήσας μάλα εἰπὲ θεοπρόπιον ὅ, τι οἶσθα.
Οὐ μὰ γὰρ Ἀπόλλωνα Διῒ φίλον, ᾧ τε σὺ Κάλχαν
Εὐχόμενος Δαναοῖσι θεοπροπίας ἀναφαίνεις,
Οὔτις ἐμεῦ ζῶντος, καὶ ἐπὶ χθονὶ δερκομένοιο,
Σοὶ κοίλῃς παρὰ νηυσὶ βαρείας χεῖρας ἐποίσει
Συμπάντων Δαναῶν. οὐδ' ἢν Ἀγαμέμνονα εἴπῃς,
Ὃς νῦν πολλὸν ἄριστος ἐνὶ στρατῷ εὔχεται εἶναι.

Hunc autem reſpondens allocutus eſt pedes velox Achilles,
Confiſus valde, dic vaticinium quodcunque ſcis,
Non enim per Apollinem Jovi carum, cui tu, Calcha,
Supplicans Danais vaticinia pandis,
Quiſquam me vivo & terram intuente,
Tibi cavas ad naves violentas manus inferet
Cunctorum Danaorum: neque ſi Agamemnonem dixeris,
Qui nunc longe præſtantiſſimus in exercitu fertur eſſe.

π'. Θαρσήσας μάλα εἰπὲ θεοπρόπιον ὅ, τι οἶσθα) Ὡς ἀγαθὸς προκρίνει τὸ κοινῇ τῷ ἰδίᾳ συμφέροντος. θεοπρόπιον δὲ τὸ ἐκ Θεοῦ προειρημένον. τοῦτο δὲ πρὸς δυσώπησιν τῶν ἀκουόντων. θεοπρόπιον δὲ τὸ ἐκ Θεοῦ μαντευόμενον, ἢ τὸ τοῖς Θεοῖς πρέπον. Οὗτοι γὰρ ὡς πάντα ἐπιστάμενοι, λέγουσι τὰ τοῖς Θεοῖς ἀρέσκοντα.

80. Achilles utpote vir bonus communem utilitatem privatæ anteponit. Vox vero *θεοπρόπιον* quod a Deo prædictum eſt ſignificat; id autem ad flectendos auditores dicitur. Rurſum *θεοπρόπιον* eſt Dei oraculum, vel quod Diis convenit; vates enim, quippe qui omnia norunt, quæ Diis placent prædicunt.

πα'. Θεοπρόπιον) [1] Ἐκ τοῦ θεοπρόπος, τοῦτο ἐκ τοῦ θεοπροπῶ. ἔστι δὲ παρασύνθετον [2] ἐκ τοῦ Θεὸς, καὶ τοῦ προέπω τὸ λέγω, ὁ τὰ ἐκ Θεοῦ προλέγων. οὕτως οὖν καὶ θεοπρόπιον.

81. Fit a *θεοπρόπος*, quod a verbo *θεοπροπῶ* deſcendit. Eſt autem (ut Grammatici ajunt) decompoſitum a *θεὸς*, *Deus*, & *προέπω*, *prædico*, ut ſit is qui prædicit quæ a Deo percepit. Eadem igitur etymologiæ ratione accipiendum eſt *θεοπρόπιον*, *vaticinium*.

πβ'. Οὐ μὰ γὰρ Ἀπόλλωνα Διῒ φίλον, ᾧ τε σὺ) Μά. Τοῦτο Ὅμηρος ὡς συλλαβῆς τάξιν ἔχον τίθησι. ποτὲ μέντοι ἀντὶ τοῦ μὰ τῷ ναὶ κέχρηται, ὡς, ναὶ

82. Hanc particulam *μὰ* Homerus tanquam ſyllabæ vicem gerentem hoc loco uſurpat; interdum tamen pro *μὰ* particula *ναὶ* utitur, ut: *per hoc ſceptrum,*

1. Ἐκ τοῦ θεοπρόπος, τοῦτο ἐκ τοῦ θεοπροπῶ) Etymologus contra ἐκ τοῦ θεοπρόπος γίνεται θεοπροπῶ.

2. Ἐκ τοῦ Θεὸς καὶ τοῦ προέπω) Etymologus: ἐκ τοῦ Θεὸς καὶ τοῦ προέπω τὸ λέγω, ὁ τὰ ἐκ Θεοῦ προλέγων. Heſychius: θεοπρόπιον μαντεῖον Θεοῦ. θεοπρόποι, προφῆται, μάντεις ἐκ Θεοῦ προλέγοντες.

[1] καὶ μὰ τόδε σκῆπτρον ὅτε ὄμνυσι. ὅτε δὲ ἀπόμνυσί τι, συζεύγνυσι τὸ τῆς ἀποφάσεως, οἷον, οὐ μὰ γὰρ Ἀπόλλωνα. καὶ ἐν Ὀδυσσείᾳ, οὐ μὰ Ζῆν' Ἀγέλαος. ἡμεῖς δὲ τὸ μὰ ὡς μέρος λόγου ἀπομνύντες παραλαμβάνομεν, μὰ τὸν Δία λέγοντες. ἔστι δὲ καὶ ἐπίρρημα ἐπευκτικόν. μαγεία ἐστὶν ἐπίκλησις δαιμόνων ἀγαθοποιῶν περὶ ἀγαθοῦ τινος σύστασιν, ὡς τὰ τοῦ Ἀπολλωνίου τοῦ Τυανέως θεσπίσματα. γοητεία δὲ ἐπίκλησίς ἐστι δαιμόνων κακοποιῶν περὶ τοὺς τάφους γενομένη. φαρμακεία δὲ ὅταν διά τινος σκευασίας θανατηφόρου πρὸς φίλτρον, ἢ ἄλλως δοθῇ τισι διὰ στόματος. [2] πατοσκοπία δὲ ἡ τῶν ἐγκάτων ἀνατομὴ, δι' ὧν προεμήνυον τὰ συμβησόμενα. ἀνατέμνοντες γὰρ σημεῖά τινα ἐθεώρουν ἐν τοῖς ἥπασι.

πγ'. Οὔτις ἐμεῦ ζῶντος) Πεφυλαγμένος, καὶ δεισιδαίμων ὁ ὅρκος. συνέβαινε γὰρ ἀποθανόντος, ἢ ἀποδημοῦντος Ἀχιλλέως αἰκισθῆναι τὸν μάντιν. τὸ δὲ οὔτις κατὰ ἀπόφασιν ἀντὶ τοῦ οὐδείς.

πδ'. Οὐδ' ἢν Ἀγαμέμνονα εἴπῃς) Ὃ δεδιὼς ἐσκέπτετο ὁ μάντις, τοῦτο θαρσύνων ἀπεκάλυπτεν Ἀχιλλεύς. Οὐχ ὑβριστικῶς δὲ εἴρηται, ἀλλὰ φιλοφρόνως, ὡς ἂν ἐπιτρέποντος καὶ τοῦ βασιλέως τοιαύτην ἀσφαλῆ ποιεῖσθαι ἐγγύην. τῇ

ptrum, idque fit quum jurejurando aliquid affirmat, quum vero jurejurando aliquid negat particulam negativam οὐ adjungit, ut ibi: *non enim per Apollinem*, & in Odyſſea: *non per Jovem Agelaus*. Nos vero quum jurejurando aliquid negamus, vocem μὰ tanquam Orationis partem aſſumimus, dicimuſque μὰ τὸν Δία, *non per Jovem*. Eſt inſuper adverbium precandi. Magia eſt, qua invocantur dæmones bonorum effectores, ad bonum aliquod conſtruendum, quo pertinent Apollonii Tyanenſis Oracula. Goetia eſt invocatio maleficorum Dæmonum, quæ circa ſepulcra fit. Pharmacia eſt quum mortiferum aliquid conſtruitur, & alicui per poculum amatorium, vel alio modo ore ſumendum exhibetur. Patoſcopia denique eſt interiorum reſectio, per quæ futuros rerum eventus prædicebant; interiora enim reſecantes in jecore ſigna quædam ſpeculabantur.

83. Cautum & religione ac Deorum metu plenum eſt jusjurandum; contigit enim mortuo Achille, vel eo abſente verberibus cæſum fuiſſe vatem. Illud autem οὔτις per negatione ſumitur pro οὐδείς, *nemo*.

84. Quod reformidans animo revolvebat vates, id animum addens retexit Achilles. Minime vero contumelioſe dictum illud eſt, ſed comiter ac benevole; perinde ac ſi ipſe quoq. rex permiſerit ut talis firma ac ſtabilis ei pro-

1. Ναὶ μὰ τόδε σκῆπτρον) Iliados hoc libro v. 234. Ναὶ μὰ τόδε σκῆπτρον, τὸ μὲν οὔποτε φύλλα καὶ ὄζους φύσει.

2. Πατοσκοπία δὲ ἡ τῶν ἐγκάτων ἀνατομὴ] Vocem πατοσκοπία Lexicographi non memorant; per aphæreſin fortaſſe pro ἡπατοσκοπία.

Digitized by Google

τῇ δὲ ὑπερβολῇ θεραπεύει τὸν Ἀγαμέμνονα.

Καὶ τότε δὴ θάρσησε καὶ ηὔδα μάντις ἀμύμων,
Οὔ τ' ἂρ ὅγ' εὐχωλῆς ἐπιμέμφεται οὐθ' ἑκατόμβης,
Ἀλλ' ἕνεκ' ἀρητῆρος, ὃν ἠτίμησ' Ἀγαμέμνων,
Οὐδ' ἀπέλυσε θύγατρα, καὶ οὐκ ἀπεδέξατ' ἄποινα.
Τοὔνεκ' ἄρ' ἄλγε' ἔδωκεν ἑκηβόλος, ἠδ' ἔτι δώσει.
Οὐδ' ὅγε πρὶν λοιμοῖο βαρείας χεῖρας ἀφέξει
Πρίν γ' ἀπὸ πατρὶ φίλῳ δόμεναι ἑλικώπιδα κούρην,
Ἀπριάτην, ἀνάποινον, ἄγειν θ' ἱερὴν ἑκατόμβην
Ἐς Χρύσην. τότε κέν μιν ἱλασσάμενοι πεπίθοιμεν.

πέ. Οὔτ' ἂρ ὅγ' εὐχωλῆς) Οὐ δή. [1] τέλειος δέ ἐστιν ὁ τάρ, οὐκ ἐκ τοῦ τὲ ἄρ. προθεραπεύει δὲ τὸ πλῆθος εἰς εὔνοιαν ἐπαγόμενος, ὡς θυσίας οὐκ ὀφεῖλον.

πς'. Οὔτ' ἄρ' ὅγ' εὐχωλῆς ἐπιμέμφεται) Ἀθετεῖται ὡς περιττός. πρόκειται γὰρ, ἀλλ' ἕνεκ' ἀρητῆρος, ὃν ἠτίμησ' Ἀγαμέμνων. τὸ δὲ ἐπιμέμφεται ἀπὸ κοινοῦ δεῖ λαμβάνειν.

πζ'. Καὶ οὐκ ἀπεδέξατ' ἄποινα) Οἱ μὲν ἐκ τοῦ φόνος, ἄφονος, ἄφοινος, καὶ ἄποινος. οἱ δὲ ἐκ τοῦ ποινὴ ἡ τιμωρία, γίνεται ἄποινος. ἢ ἐκ τοῦ φονὴ, ὃ σημαίνει τὸν τόπον τῶν ἀναιρουμένων, ὡς τὸ, [2] ἐν ἀργαλέῃσι φονῇσι.

πή. Δόμεναι ἑλικώπιδα κούρην) [3] Τὴν μελανόφθαλμον, ὡς Καλλίμαχος, ἢ τὴν οὐκ ἀτενιστὴν τῇ θέᾳ, ἢ τὴν ἀξιοθέατον, ἢ

miſſio fieret. Per exceſſum vero illum Agamemnonis ſibi conciliat animum.

Tum vero cepit animum, & dixit vates inculpatus,
Neque hic nos ob vota non reddita incuſat, neque ob hecatomben:
Sed gratia ſacerdotis, quem contumelia affecit Agamemnon,
Neque dimiſit filiam, & non accepit pretium liberationis.
Iccirco dolores intulit Apollo, & adhuc inferet:
Neque hic prius a peſte noxias manus abſtinebit,
Quam patri dilecto reddatur nigra oculis puella
Inempta, ſine pretio, & ducatur ſacra hecatomba
In Chryſen. tunc ipſum forte placatum flexerimus.

85. Non ſane. Perfecta vero eſt particula τὰρ, non ex τὲ & ἂρ per ſynalœphen conflata. Prius autem multitudini blanditur, eamque ſibi conciliat, tanquam non damnatam ſacrificii.

86. Rejicitur carmen illud tanquam ſupervacaneum, quippe quum dicatur; *ſed cauſſa ſacerdotis, quem ignominia affecit Agamemnon*. Illud vero ἐπιμέμφεται communiter eſt accipiendum.

87. Sunt qui eam vocem deducunt a φόνος, ex quo fieri ajunt ἄφοινος, & ἄποινος. Alii a ποινὴ fieri ἄποινος contendunt; vel a φονὴ, quod locum occiſorum ſignificat, ut eſt illud: *in fœdo ſtragis loco*.

88. Nigros oculos habentem, ut Callimachus habet, vel quæ haudquaquam intentos in quempiam oculos

1. Τέλειος δέ ἐστι ὁ τὰρ) Sic ergo legendum, οὐ τὰρ ὅγ' εὐχωλῆς, non ut in edit. οὔτ' ἄρ ὅγ' εὐχωλῆς. Heſychius: ὁ τὰρ, σύνδεσμος δὲ, δὴ, ἄρα
2. Iliad. X. v. 521. ἄνδρας τ' ἀσπαίροντας ἐν ἀργαλέῃσι φονῇσι.
3. Τὴν μελανόφθαλμον, ὡς Καλλίμαχος) Reſpicit ad Etymologiam, quam tradit Scholiaſ-

ἢ 1 πρὸς ἣν οἱ νέοι τὰς ὦπας ἑλίσσουσι.

πθʹ. Ἀπριάτην) Ἐπιῤῥηματικῶς αὐτὸ ἀκούει Ἀπολλώνιος, ἵν' ᾖ τὸ χωρὶς πριασμοῦ.

ϟʹ. Ἄγειν θ' ἱερὴν ἑκατόμβην) Οὐ γὰρ ἐκ μόνης μεταμελείας, ἀλλὰ καὶ ἐκ κόπου, καὶ προσφορᾶς τοὺς προημαρτηκότας ἀπαλλάττεσθαι δεῖ. 2 τὸ δὲ ἄγειν ἐπὶ νηὸς, ἢ ἅρματος, ὃ οἴκοθεν ἦγ' ὁ γηραιός. ἦγον δὲ Μαχάονα ποιμένα λαῶν.

ϟαʹ. Τότε κέν μιν) Ζηνόδοτος αἴ κέν μιν. γελοῖον δὲ διστακτικῶς λέγειν τὸν μάντιν.

ϟβʹ. Πεπίθοιμεν) Ὅμοιόν ἐστι τῷ, 3 ῥηϊδίως πεπιθεῖν. εἴωθε δὲ τοὺς δευτέρους ἀορίστους ἀναδιπλασιάζειν.

Ἤτοι ὅγ' ὡς εἰπὼν κατ' ἄρ' ἕζετο. τοῖσι δ' ἀνέστη.
Ἥρως Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων,
Ἀχνύμενος. μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι
Πίμπλαντ', ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην.
Κάλχαντα πρώτιστα, κάκ' ὀσσόμενος προσέειπε,
Μάντι κακῶν, οὐ πώποτέ μοι τὸ κρήγυον εἶπας.
Αἰεί τοι τὰ κάκ' ἐστὶ φίλα φρεσὶ μαντεύεσθαι.
Ἐσθλὸν δ' οὐδέ τι πω εἶπες ἔπος, οὐδ' ἐτέλεσσας.

ϟγʹ. Ἥρως Ἀτρείδης μένεος) Ἐκλί-

los habet, vel ſpectatu dignam, vel circa quam adoleſcentes oculos vertunt.

89. Adverbialiter eam vocem accipit Apollonius, ut ſenſus ſit, ſine redemptionis pretio.

90. Non enim ſola pœnitentia; ſed etiam labore, atque oblatione oportet eos, qui in anteacta vita deliquerunt, peccatis expiari. Illud autem ἄγειν intelligendum navi, vel curru, quem domo ſenex adduxit: *duxerunt autem Machaonem paſtorem populorum*.

91. Zenodotus legit αἴ κέν μιν, *ſi ipſum*; ſed ridiculum eſt vatem dubitando loqui.

92. Simile eſt ei, ῥηϊδίως πεπιθεῖν. Conſuevit autem Poeta in aoriſtis ſecundis reduplicatione uti.

Ille quidem ita locutus conſedit. inter eos autem ſurrexit
Heros Atrides late dominans Agamemnon
Indignatus: itaque valde præcordia circumfuſa caligine
Plena erant, & oculi ejus igni lucenti ſimiles erant.
Calchanta primum torve intuens allocutus eſt,
Vates malorum, nunquam mihi utile dixiſti:
Semper animo tuo jucundum eſt mala vaticinari:
At bonum nondum aliquod dixiſti verbum, neque perfeciſti:

93. Evitanda atque cavenda eſt ira;

D

tes apud Barneſium. ἐλικὸν γὰρ κατὰ διάλεκτον καλεῖται τὸ μέλαν. quocirca Callimachus Aeſopum amnem vocat ἑλικώπιον ὕδωρ, ex quo colligit Euſtathius τὸ ἑλικὸν nigrum ſignificare.

1. Πρὸς ἣν οἱ νέοι τὰς ὦπας ἑλίσσουσι) Πρὸς ἣν πᾶς ἑλίσσει τὰς ὦπας διὰ τὸ κάλλιστον εἶδος, ait Etymologus.

2. Τὸ δὲ ἄγειν ἐπὶ νηὸς, ἢ ἅρματος) Eorum opinioni, qui tradunt verbum ἄγειν apud Homerum ſemper ſignificare navi vel curru vehere, opponit Euſtathius illud: βοῦν ἀγέτω χειρῶν. Verum Scholiaſta noſter eo loco non generalem verbi ἄγειν ſignificationem tradit, ſed particularem, in eo nempe caſu, de quo Poeta loquitur ἄγειν θ' ἱερὴν ἑκατόμβην, ut intelligamus navi vel curru ſacram Hecatomben duxiſſe.

3. Ῥηϊδίως) Iliad. IX. v. 183. 184. Πολλὰ μάλ' εὐχομένω γαιηόχῳ ἐννοσιγαίῳ ῥηϊδίως πεπιθεῖν.

κλίνειν δεῖ τὸν θυμὸν, καὶ φυλάττεσθαι, ὅπη γε καὶ τοῦ τοιούτου Ἥρωος περιεγένετο.

ϞΔ'. Εὐρυκρείων) Ὄνομά ἐστι μετοχικόν. ἀπὸ γὰρ μετοχῆς μετήχθη εἰς ὄνομα. γίνεται δὲ ἐκ τοῦ κρατῶ, ὃ σημαίνει τὸ ἄρχω. ἐξ αὐτοῦ κατὰ παραγωγὴν κρατείω, ὡς τὸ ὀψείω, βρωτείω, θείω. τούτου ἡ μετοχὴ κρατείων, καὶ συγκοπῇ κρείων.

ϞΕ'. Ἀμφιμέλαιναι πίμπλαντ') Ἡ ἀμφὶ πρὸς τὸ πίμπλαντο, ἀπὸ τῆς τῶν ὑδάτων μεταφορᾶς. ὡς ἐκ κεραμίου γὰρ ὁ θυμὸς ὑπερεξεχεῖτο.

ϞϚ'. Ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι) Ἀπὸ ὄπτω ὄσσω, ὥσπερ ἀπὸ πέττω πέσσω. ἐκ δὲ τοῦ ὄσσω γίνεται ὁ ὄσσος, τὸ δυϊκὸν ὄσσεε, καὶ ἀφαιρέσει ὄσσε.

Ἄλλο. τὸ ὄσσε οὐκ ἔστιν ἀρσενικόν. φησὶ γὰρ ὁ ποιητής, [1] τὼ δέ οἱ ὄσσε πὰρ ποσὶν αἱματόεντε χαμαὶ πέσον, [2] οὐχ αἱματόεντες. Οὐδετέρας οὖν ληπτέον εὐθείας, καὶ ἔσται τὸ ὄσσος, ὡς ἕρκος, βέλος, τεῖχος. τὸ δὲ πληθυντικὸν κατὰ Ἀθηναίους μὲν ἕρκη, βέλη, τείχη, κατὰ δὲ Ἴωνας, ἕρχεα, βέλεα, τείχεα, καὶ δῆλον ὅτι ὄσσεα. τῶν εἰς α πληθυντικῶν τὰ δυϊκὰ οὐδέτερα εἰς ε τελευτᾷ, οἷον ὄμματα ὄμματε, γράμματα γράμματε. καὶ Εὐριπίδης, οὐκ ἂν δύ' ὄντην ταῦτ' ἔχοντε γράμματε, καὶ Λει-

ira; quippe quæ talem ac tantum Heroem inceſſit.

94. Nomen eſt a participio deductum; a participio enim in nomen translatum eſt. Fit autem a verbo κρατῶ, quod impero ſignificat, ex quo per paragogen fit κρατείω, inſtar τοῦ ὀψείω, βροτείω, θείω, *videre cupio*, *eſurio*, *curro*. Hujuſce participium κρατείων, & per ſyncopen κρείων.

95. Propoſitio ἀμφὶ, *circum* ad verbum πίμπλαντο refertur, ſumpta ab aquis metaphora. Tanquam enim ex fictili quodam vaſe ſuper Agamemnonis animum ira effundebatur.

96. Ab ὄπτω, *video* fit ὄσσω, quemadmodum a πέττω, *coquo* manat πέσσω. Ex ὄσσω autem fit ὄσσος, *oculus*, cujus dualis ὄσσεε, & per aphæreſin ὄσσε.

Aliud. Nomen ὄσσε, *oculi* non eſt generis maſculini (ut quidam autumant) ait enim Poeta: *at ei oculi ad pedes ſanguinolenti humi deciderunt*, non αἱματόεντες. Eſt igitur generis neutri a ſingulari ὄσσος, τὸ, quemadmodum ἕρκος, βέλος, τεῖχος, *ſeptum*, *telum*, *murus*, quorum nominativus plur. juxta Athenienſes ἕρκη, βέλη, τείχη, & ſecundum Jonicam dialectum ἕρχεα, βέλεα, τείχεα, quibus conſentaneum erit ὄσσεα. Neutra porro, quorum nominativus pluralis deſinit

1. Τὼ δέ οἱ ὄσσε) Iliad. XIII. v. 616. & ſeqq. Τὼ δέ οἱ ὄσσε Πὰρ ποσὶν αἱματόεντε χαμαὶ πέσον ἐν κονίῃσι.

2. Οὐχ αἱματόεντες) Hæc ratio nulla eſt, quia αἱματόεντε eſt etiam generis maſculini in duali numero; tamen de genere hujus vocis ὄσσε controverſiam fuiſſe apud græcos Grammaticos apparet ex eo, quod Euſtathius ſcribit ad hunc locum.

[1] Ἀριστοφάνης ἐν Πλούτῳ, γρύζειν καὶ τολμᾶτον ὦ καθάρματε. σαφὲς οὖν ὅτι καὶ τείχεε λέξεσι δυϊκὰ, καὶ ὄσσεε, εἶτα κατὰ ἀφαίρεσιν ὄσσε.

ϛζʹ. Λαμπετόωντι ἐΐκτην) Ὥσπερ ἀπὸ τοῦ εὔχω εὐχέτης, βάλλω βαλέτης, οὕτω καὶ ἐκ τοῦ λάμπω λαμπέτης, καὶ ἐξ αὐτοῦ λαμπετῶ, ἡ μετοχὴ λαμπετῶν. ἔστι δὲ ἡ συζυγία τῶν περισπωμένων. ὁ ποιητὴς ἐπὶ ταύτης τῆς συζυγίας ἔθος ἔχει πλεονάζειν τὸ ο, ὡς τὸ, ὁρόων ἐπὶ οἴνοπα πόντον.

ϛηʹ. Ἐΐκτην) Εἴκω, εἶκα, εἴκειν, εἰκείτην, καὶ ἐν συγκοπῇ εἴκτην. προδιατυποῖ δὲ τὰ λεχθησόμενα τῆς ὄψεως τὸ δεινὸν, καὶ δοκεῖ τὸ, ὑπόδρα ἰδὼν, ἔχειν καὶ ἐπεξήγησιν.

ϛθʹ. Κάλχαντα πρώτιστα κακοσσόμενος προσέειπε) Παρατηρητέον ὅτι ὅταν ἐκ προσώπου τινὸς ἐπάγειν μέλλῃ λόγους ὁ ποιητὴς, προσημαίνει οἷός ἐστιν ὁ λόγος. εἰπόντος γὰρ αὐτοῦ, τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν, προσέφη ὁ Ἀγαμέμνων ὑβριστικῶς. καὶ πάλιν, καί μιν νεικείων, θεωρητέον εἰ οἱ μέλλοντες ἐπάγεσθαι λόγοι ἔχουσιν ὀνείδη. ὅταν δὲ τὸ, ὅ σφιν ἐΰφρονέων, φρονίμους προσδεκτέον λόγους. καὶ πάλιν ὅταν λέγῃ. [2] καὶ τότε κουφότερον μετεφώνεε Φαιήκεσσι, διὰ

finit in alpha dualem habent in epſilon deſinentem; ut ὄμματα ὄμματε, γράμματα γράμματε. Cujus exemplo eſt illud Euripidis; οὐκ ἂν δύ' ἤτην ταῦτ' ἔχοντε γράμματε, & illud Ariſtophanis in Pluto, γρύζειν καὶ τολμᾶτον ὦ καθάρματε. Perſpicuum ergo eſt prædictorum nominum duale ſic habere τείχεε, ὄσσεε, & per aphæreſin ὄσσε.

97. Quemadmodum ab εὔχω fit εὐχέτης, a βάλλω βαλέτης, ſic a λάμπω manat λαμπέτης, ex quo λαμπετῶ, cujus participium λαμπετῶν, eſtque conjugationis circumflexorum; in qua conjugatione Poeta pleonaſmo vocalis omicron uti ſolet, ut ibi: *aſpiciens in purpureum pontum*.

98. εἴκω, *ſimilis ſum;* præteritum perfec. εἶκα, *ſimilis fui;* preteritum pluſq. εἴκειν, *ſimilis eram*, εἰκείτην, & per ſyncopen εἴκτην. Terribilis autem aſpectus qualia futura ſint verba deſignat. Et videtur illud ὑπόδρα ἰδὼν, *torvis oculis aſpiciens* enarrationem continere.

99. Obſervandum eſt Poetam, quum loquentes aliquos inducturus eſt, qualis futurus ſit ſermo præmonſtrare conſueviſſe. Quum enim dixiſſet: *hunc vero torve intuitus allocutus eſt Agamemnon*, paulo poſt contumelioſa verba ſequuntur. Rurſum quum dicit: *& ipſum objurgans*, conſiderandum eſt utrum verba, quæ proferenda ſunt objurgationes contineant. Contra quum dicit: *qui ipſis bene cogitans*, benevola verba ſunt excipienda. Præ-

terea

1. Ἀριστοφάνης] Ariſtophanes loco a Scholiaſta laudato. γρύζειν δὲ καὶ τολμᾶτον ὦ καθάρματε.
2. Καὶ τότε κουφότερον) Odyſſ. lib. VIII. 201.

δεῖ ἡμᾶς τῶν λεχθησομένων ὡς κούφων ἀκούειν, Ὀδυσσέως ὑψηγοροῦντος. καὶ ἐνταῦθα τοίνυν προδιετύπωσε τοὺς λόγους 1 διὰ τοῦ κακοσσόμενος, οὐχ ὥς τινες οἴονται κακῶς ὑποβλεψάμενος, ἀλλ' ὅτι κακόμαντιν ἀποκαλῶν. ἐπεὶ γὰρ ὄσσα ἐςὶν ἡ θεία φωνὴ, τῆς ὀπὸς δὲ τῶν Θεῶν ἀκούουσιν οἱ μάντεις, διὰ τοῦτο κακοφημίζει αὐτὸν εἰς τοῦτο.

terea quum dicit : *& tunc velocius Phæacas allocutus eſt*, oportet nos ea, quæ dicenda ſunt verba perinde ac ſi velociter proferrentur audire; quippe quum Ulyſſes elata voce loquatur. Itaque hoc quoque loco verba qualia futura erant præmonſtravit per illud κακοσσόμενος, quod non ſignificat, ut quidam autumant, *torvis oculis intuitus*; ſed quod malorum vatem appellarit. Quandoquidem enim ὄσσα eſt divina vox, divinam autem vocem vates audiunt, propterea hac de re eum objurgat.

ρ'. Κάλχαντα πρώτιςα κακοσσόμενος προσέειπε) 2 Τὸ κακοσσόμενος οὐ σημαίνει τὸ κακῶς ὑποβλεψάμενος. οὐ γὰρ οἷόν τε κακῶς συναλεῖψαι διὰ τὸ σύμφωνον, οὐδ' ἐςὶν ὅπου τὸ ὑποβλέψασθαι ὄσσεσθαι λέγει. ἀλλὰ σημαίνει τὸ κακοσσόμενος (ἐν συνθέτῳ γὰρ εἴρηται) κακόμαντις. ἐπεὶ γὰρ ὄσσα ἡ θεία φωνὴ, ἣν καὶ Διὸς ἄγγελον ἔφη. μετὰ δέ σφισιν ὄσσα δεδήει, ὀτρύνουσ' ἰέναι, Διὸς ἄγγελος. Διὸς ἄγγελοι καὶ οἱ μάντεις, καὶ τῆς ὀπὸς τῶν Θεῶν ἀκούουσιν, ἥτις ἐςὶν ὄσσα. ὡς γὰρ ἐγὼν ὄπ' ἄκουσα Θεῶν, ἀπὸ τῆς ὄσσης πεποίηκε τὸ κακοσσόμενον, ἀπὸ τοῦ ὡς κακόμαντιν αὐτὸν ὀνειδίζοντος, ὡς εἰ ἔλεγε κακὸν ἄγγελον τῆς Διὸς ὄσσης ἀποκαλῶν.

100. Illud κακοσσόμενος non ſignificat torvis oculis intuitus; fieri enim non poteſt propter conſonantem ut adverbium κακῶς in unum (cum verbo ὀσσόμενος) coaleſcat; nec ullibi Poeta ὄσσεσθαι dicit pro ὑποβλέψασθαι, *torvis oculis aſpicere*; ſed ſonat ea vox, quippe quum in compoſitione ſumatur, κακόμαντις, *malus vates*. Quum enim ὄσσα divina vox ſit, quam & Dei nunciam appellat. *inter ipſos autem fama divulgabatur*, *Jovis nuncia*, *incitans ire*, quumque Dei nuncii vates quoque ſint, & Deorum vocem audiant, quæ proprie ὄσσα eſt, *ſic enim ego vocem audivi Deorum*, ab ὄσσης deduxit κακοσσόμενον, ex eo quod cum exprobrando malum vatem appellarit, perinde ac ſi dixiſſet: *malum vocis Jovis nuncium appellans*.

1 Διὰ τοῦ κακοσσόμενος) Omnes editiones habent κάκ' ὀσσόμενος, ſed Codicis noſtri lectionem Interpres ad eum locum, ut vides, acriter propugnat, & convenit cum Porphyrio Homer.quæſt.XVII. Heſychius conjunctim legit κακοσσόμενος, tamen interpretatur δεινῶς ἐμβλεψάμενος, *trucibus oculis intuitus*.

2. Τὸ κακοσσόμενος) Totum illud Scholion iiſdem verbis extat apud Porphyrium Homericarum quæſtionum XVII.

ρά. Μάντι κακῶν, ὐ πώποτέ μοι τὸ κρήγυον) Ο᾿ ζητῶν τὸ τί κακὸν ἐμαντεύσατο, ὀργῆς ὐκ οἶδε φύσιν ἐπ᾿ ἀλήθειαν ὐ φερομένην. τάχα δὲ καὶ κακόμαντίν φησι διὰ τὸ εἰπεῖν, τῷ δεκάτῳ δὲ πόλιν αἱρήσομεν. ᾤετο γὰρ ταχύτερον πορθήσειν, διὰ τὸ τὸν Δία ἐπιδέξια φαίνειν σήματα. εἰ γὰρ καὶ ἀληθεῖς αἰτῶν φαύλων προγνώσεις, οὐδὲν ἧττον οἱ δυστυχῦντες τὺς προειρηκότας ὡς αἰτίυς μισῦσι.

101. Qui quærit quidnam mali vaticinatus ille fuerit, iræ naturam ignorat, quæ ad veritatem minime fertur. Fortaſſe etiam malorum vatem ideo appellat, quia prædixerat: *decimo vero urbem depopulabimur*; putabat enim citius (quamvates prædixerat) ſe urbem everſurum, quia Jupiter ei fauſta ſigna portendebat. Quamvis enim veras malorum prænotiones Agamemnon quæreret; attamen ita ſunt a natura comparati homines, ut dum in calamitates incidunt, eos qui prædixerunt tanquam auctores odio proſequantur.

ρβ'. Κρήγυον εἶπες) Τὸ τῷ κέαρι ἡδὺ καὶ προσηνὲς, ὃ ταυτόν ἐστι τῷ θυμῆρες. τὸ δὲ εἶπες εἶπας Α᾿ρίσαρχος γράφει κακῶς. εἰπὼν γὰρ ἀεὶ, καὶ εἶποιμι λέγομεν.

102. Quod cordi ſuave eſt & jucundum, idem quod θυμῆρες, *animo gratum*. Ariſtarchus autem pro εἶπες male εἶπας ſcribit; ſemper enim aoriſtum ſecundum εἰπὼν & εἴποιμι uſurpare conſuevimus.

ργ'. Οὐδέτι πω εἶπες ἔπος, ὐδ' ἐτέλεσσας) Ε᾿μφατικόν ἐστι τὸ ὐδὲ δὶς λεγόμενον, καὶ τὴν τῆς μαντείας τύχην λοιδορεῖ, ὡς εἴ τι καὶ χρηστὸν εἴποι ὐκ εἰς ἀγαθὸν τελευτώμενον. δυσκαταπαύστως δὲ ἔχυσι πρὸς τὰς κατηγορίας οἱ ὀργιζόμενοι, καὶ τὰ αὐτὰ ἐπαναλαμβάνυσι, ὡς μὴ κατ᾿ ἀξίαν εἰρηκότες.

103. Emphaticum eſt illud ὐδὲ repetitum, atq. vaticinii fatum objurgat; veluti ſiquid utile etiam ac profuturum prædixerit, quod exitum bonum non habuerit. Qui vero ira percelluntur ab objurgationibus ſeſe temperare nequeunt, & eadem repetunt, quippe qui nunquam ſibi videntur pro dignitate objurgaſſe.

Καὶ νῦν ἐν Δαναοῖσι θεοπροπέων ἀγορεύεις
Ω῾ς δὴ τῶδ᾿ ἕνεκά σφιν ἑκηβόλος ἄλγεα τεύχει
Οὕνεκ᾿ ἐγὼ κύρης Χρυσηΐδος ἀγλα᾿ ἄποινα
Οὐκ ἔθελον δέξασθαι. ἐπεὶ πολὺ βύλομαι αὐτὴν
Οἴκοι ἔχειν. καὶ γάρ ῥα Κλυταιμνήστρης προβέβυλα
Κυριδίης ἀλόχυ. ἐπεὶ ὐ ἕθεν ἐστὶ χερείων
Οὐ δέμας, ὐδὲ φυὴν, ὔτ᾿ ἄρ φρένας, ὔτε τι ἔργα,

Et nunc inter Danaos vaticinans concionaris,
Quaſi icciro ipſis Apollo dolores ſtruat,
Quoniam ego puellæ Chryſeidis ſplendidum liberationis pretium
Noluerim accipere: ſed malim ipſam
Domi habere: etenim Clytæmneſtræ præfero,
Ductæ juveni uxori; etenim ipſa inferior non eſt
Neque corpore, neque indole, neque mente, nec ullis artificiis.

ρδ'. Ὡς δὴ τοῦδ' ἕνεκα) Ὅτι ἀθετουμένη αὐτῆ οὐκ ἐλλιπὴς, ἀλλὰ σύντομος ἔσαι ἡ ἑρμηνεία.

ρέ. Οὐκ ἔθελον δέξαθαι, ἐπεὶ ἐ ἔθεν ἐςὶ χερείων οὔτε φυὴν) Ἐξαίρει τὸν πόθον, ὅπως μεγίςην τοῖς Ἕλλησι δοκοίη καταπίθεθαι χάριν. δημαγωγικώτατος γάρ ἐςιν. ἢ ὅτι περισπούδαςος τοῖς ἐπ' ἀλλοδαπῆς ὁ τῶν γυναικῶν πόθος. ἀπάγων δὲ τοὺς Ἕλληνας τοῦ τοιούτου πόθου, ἐπαινεῖ τὴν αἰχμάλωτον.

ρϛ'. Ἐπεὶ ἐ ἕθεν) Τὸ μὲν πρῶτον, καὶ τὸ δεύτερον πρόσωπον τοῦ ἕθεν ὀρθοτονεῖται, τὸ δὲ τρίτον δισσόν ἐςι τῷ τόνῳ. 1 νῦν ἐν ἐγκλιτέον.

ρζ'. Χερείων ἐ δέμας, οὐδὲ φυὴν) Ἐκ τοῦ χερειότερος, καὶ κατὰ μεταπλασμὸν χέρειος. σημαίνει δὲ τὸν ἐλάσσω, καὶ γίνεται ἐκ τοῦ χεὶρ χειρὸς, καὶ ἀφαιρέσει τοῦ ι χερὸς, ἐξ ἐ χερείων, καὶ κυρίως ὁ ταῖς χερσὶν ἥττων.

ρή. Οὐ δέμας) Ἐκ τοῦ δέω τὸ δεσμεύω, δέδεκα, δέδεμαι. δεσμὸς γὰρ ἐςι τῆς ψυχῆς τὸ σῶμα, παρὰ τὸ δεδέθαι τὴν ψυχὴν ἐν αὐτῷ.

ρθ'. Οὐδὲ φυὴν, οὔτ' ἂρ φρένας) Φυὴν τὸ δι' ὅλου κάλλος. 2 φυήν γε μὲν ἐ κακός ἐςι, μηρὺς τε κνήμας τε, καὶ ἄμφω χεῖρας. ἐν μονοςίχῳ δὲ πᾶσαν ἀρετὴν γυναικὸς ἐσήμανε.

104. Quia rejicitur non deficiens, ſed brevis erit ejus interpretatio.

105. Extollit deſiderium (& affectum erga Briſeidem) ut beneficium maximum in Græcos conferre videretur; per hoc enim populi benevolentiam ſibi maxime conciliat. Vel ea dicit quia qui in extera regione verſantur ardenti erga mulieres ſtudio tenentur. Ab hujuſmodi vero deſiderio abducens Græcos captivam laudibus extollit.

106. Prima & ſecunda perſona vocis ἕθεν recto tono effertur; tertia vero duplicem tonum habet. Hoc igitur loco accentum in præcedentem dictionem transfert.

107. A χερειότερος, *pejor*, & per metaplaſmum χέρειος, quod ſignificat inferiorem, fitque a χεὶρ χειρὸς, *manus*, & per aphæreſin literæ jota χερὸς, ex quo χερείων, quod proprie ſignificat eum, qui manibus inferior eſt.

108. A verbo δέω, quod ſignificat ligo, δέδεκα, δέδεμαι, *ligavi*, *ligatus ſum*. Corpus enim eſt animæ vinculum, quippe quum in eo anima vinciatur.

109. Univerſam in ſingulis partibus pulcritudinem vox φυὴν ſignificat. *Indole quidem malus non eſt, femoribuſque, cruribuſque, & ambabus manibus.*

1. Νῦν ἐν ἐγκλιτέον) Scribe igitur ἐ ἕθεν, contra editiones, quæ habent ἐ ἔθεν. Hanc interpretis noſtri lectionem in accuratioribus exemplaribus memorat Euſtathius: τὰ τῶν ἀντιγράφων ἀκριβέςερα ἐ ἕθεν προπαροξυτόνως ἔχουσι.

2. Φυήν γε μὲν ἐ κακός ἐςι] Odyſſ. VIII. 134.135. Οὐδέ τι καὶ δεδάηκε. φυήν γε μὲν ἐ κακός ἐςι, Μηρούς τε κνήμας τε, καὶ ἄμφω χεῖρας ὕπερθεν.

Digitized by Google

μαι. ϗ ἀλλαχῆ, κάλλει, ϗ ἔργοισι, ἰδὲ φρεσὶ πευκαλίμσι. [1] καλή τε μεγάλη τε, ϗ ἀγλαὰ ἔργ', εἰδυῖη.

bus. Unico autem verſu omnem mulieris pulcritudinem indicavit. Et alibi: *pulcritudine, operibuſque, atque mentibus prudentibus. Pulcræque, magnæque, & ſplendida opera ſcienti.*

Ἀλλὰ ϗ ὣς ἐθέλω δόμεναι πάλιν, εἰ τόγ' ἄμεινον.
Βύλομ' ἐγὼ λαὸν σόον ἔμμεναι, ἢ ἀπολέσθαι.
Αὐτὰρ ἐμοὶ γέρας αὐτίχ' ἑτοιμάσατ', ὄφρα μὴ οἶος
Ἀργείων ἀγέραςος ἔω. ἐπεὶ ὐδὲ ἔοικε
Λεύσσετε γὰρ τόγε πάντες, ὅ μοι γέρας ἔρχεται ἄλλη.

Verum & ſic volo reddere, ſi hoc eſt melius.
Malo ego populum ſalvum eſſe, quam perire.
Sed mihi præmium ſtatim præparate, ut non ſolus
Argivorum præmio caream: ſiquidem id non deceret.
Videtis enim hoc omnes, quod meum præmium abit alio.

ρί. Λαὸν σόον ἔμμεναι, ἢ ἀπολέσθαι) [2] Αἱ πᾶσαι ἐκδόσεις σῶν εἶχον. ἀναλογώτερον δὲ τὸ σῦν τῷ, [3] σῶς αἰπὺς ὄλεθρος. ὁ δὲ ἢ διασαφητικός ἐςιν, ἀντὶ τῦ ἤπερ, ὡς τὸ, ἢ ἀφνειότεροι. ἔςι δὲ ϗ μετὰ ἔθυς. Πορφύριος δὲ διαζευκτικὸν, ἀντὶ τῦ ϗ, οἷον ϗ αὐτὸς ἀπολέσθαι.

ρια΄. Ἀργείων ἀγέραςος) Ἱκανὸν μὲν ἦν αὐτῷ ϗ τῶν ἀρισέων μόνον εἰπεῖν. ἀλλὰ διατῦτο πάντων ἔφη, ἵνα τὴν εἰς αὐτὸν ἀτιμίαν αὐξήσῃ.

ριβ΄. Ἀγέραςος) Ἀγέραςος ὡς ἀπείραςος, ϗ ἀβίαςος. ἵνα δὲ μὴ δοκῇ τῦ μηδενὸς καταπεφρονηκέναι, τὸ ἴσον αἰτεῖ.

ριγ΄. Λεύσσετε γὰρ τόγε πάντες, ὅ μοι γέρας ἔρχεται ἄλλη) [4] Ἀρίςαρχος μέλλοντά φησι, ἐγὼ δὲ ἐνεςῶτα ἀπὸ μέλλον-

108. Omnes Editiones σῶν habebant, quod magis conſonum eſt ei, σῶς αἰπὺς ὄλεθρος. Particula vero ἢ declarativa eſt pro ἤπερ, ut ibi, ἢ ἀφνειότεροι, eſtque more receptum. Porphyrius autem copulam eſſe ait pro ϗ *&*; ut ϗ αὐτὸς ἀπολέσθαι, *& ipſe perire.*

109. Satis erat illi ſi procerum & optimatum ſolum dixiſſet, ſed iccirco omnium Argivorum dixit, ut ignominiam, qua afficiebatur, magis magiſque augeret.

110. Ea vox ἀγέραςος ſe habet ut ἀπείραςος & ἀβίαςος. Ne videretur autem quempiam contempſiſſe æquale omnibus præmium petit.

111. Ariſtarchus futurum eſſe ait; ego vero præſentem a futuro deductum eſſe ſentio, ut ſunt illa ἄξετε du-

1. Καλῇ τε μεγάλῃ τε) Odyſſ. XIII. 289. & alibi paſſim.
2. Αἱ πᾶσαι ἐκδόσεις σῶν εἶχον) Scribendum ergo λαὸν σῶν ἔμμεναι contra hodiernas editiones, quæ σόον prætulerunt.
3. Σῶς αἰπὺς) Iliad. XIII. v. 772. Πῦ δέ τοι Ὀρθονεύς; νῦν ὤλετο πᾶσα κατ' ἄκρης Ἴλιος; αἰπεινὴ νῦν τοι σῶς αἰπὺς ὄλεθρος.
4. Ἀρίςαρχος μέλλοντα] Ergo uterque, tam Ariſtarchus ſcilicet quam Scholiaſtes anony-

λοντος, ὡς τὸ, ἄξετε, οἴσετε. τὸ δὲ ὅμοι ἀποκοπῇ τοῦ ὅτι. τὸ δὲ ἄλλῃ μετὰ τοῦ ι γράφομεν.

ducite, οἴσετε, *ferte*. Illud autem ὅμοι factum eſt per apocopen particulæ ὅτι. Vocem vero ἄλλῃ cum iota ſubſcripto proferimus.

Τὸν δ' ἠμείβετ' ἔπειτα ποδάρκης δῖος Ἀχιλλεύς,
Ἀτρείδη κύδιστε, φιλοκτεανώτατε πάντων.
Πῶς γάρ τοι δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί;
Οὐδέ τι πω ἴδμεν ξυνήϊα κείμενα πολλά.
Ἀλλὰ τὰ μὲν πολίων ἐξεπράθομεν, τὰ δέδασται.
Λαοὺς δ' οὐκ ἐπέοικε παλίλλογα ταῦτ' ἐπαγείρειν.
Ἀλλὰ σὺ μὲν νῦν τήνδε θεῷ πρόες. αὐτὰρ Ἀχαιοί
Τριπλῇ τετραπλῇ τ' ἀποτίσομεν αἴ κέ ποθι Ζεύς

Huic autem reſpondit poſtea pedibus præſtans divinus Achilles,
Atride glorioſiſſime, avidiſſime omnium.
Qui tibi dabunt præmium magnanimi Achiui?
Non omnino ſcimus communia ullibi repoſita multa.
Sed quæ quidem ex urbibus deprædati ſumus, ea diuiſa ſunt,
Populos autem non decet iterum collecta hæc congregare.
Sed tu quidem nunc hanc Deo permitte : at Achiui
Tripliciter quadrupliciterque compenſabimus, ſi quando Jupiter

ριδ'. Ποδάρκης) Ὁ ἑαυτῷ τοῖς ποσὶν ἐπαρκῶν, ἢ καὶ τοῖς ἄλλοις, ὡς τὸ λαοσσόος.

ριε'. Φιλοκτεανώτατε) Οὐ γὰρ γέρως Ἀγαμέμνων, ἀλλὰ κέρδους ἀντεποιεῖτο.

ρις'. Γάρ τοι) Ἐν ἀρχῇ προσκρούει.

ριζ'. Οὐδέ τι πω) Ὁ δὲ ἀντὶ τοῦ γάρ. Αἱ πᾶσαι δὲ ποῦ ἔχουσι. ὡς πρὸς ἐντροπὴν δὲ τὴν κοινὴν ἀπορίαν προβάλλεται.

ριη'. Ἴδμεν) Οἱ μὲν ἐκ τοῦ ἴσημι, ἴσαμεν, καὶ ἐν συγκοπῇ ἴσμεν, καὶ τροπῇ τοῦ σ εἰς δ ἴδμεν. Οἱ δὲ, ἀπὸ τοῦ εἴδω τὸ γινώσκω. Ὁ β ἀόριστος ἴδον, ἴδομεν, καὶ ἀποβολῇ τοῦ ο ἴδμεν.

ριθ'. ξυνήϊα) ξυνὸν, ξύνειον, ὡς κοι-

114. Qui ſibi metipſi pedibus ſufficiens eſt, vel etiam aliis, ut eſt illud λαοσσόος.

115. Non enim præmium ſed lucrum affectabat Agamemnon.

116. Initio invehitur.

117. Particula δὲ pro γὰρ hoc loco ſumitur. Omnes autem editiones ποῦ habent; & quodammodo pudore afficiens communem penuriam objicit.

118. Quidam deducunt eam vocem ab ἴσημι, *ſcio*, ex quo ἴσαμεν, & per ſyncopen ἴσμεν, & verſo ſigma in delta ἴδμεν. Alij vero ab εἴδω quod ſignificat cognoſco, cujus aoriſtus ſecundus ἴδον, ἴδομεν, & rejecto omicron ἴδμεν.

119. A ξυνὸν, *commune* fit ξύνειον, ut

mus, cenſet τὸ λεύσετε cum ſimplici ſigma eſſe ſcribendum, quippe quum alter futurum λεύσω verbi λεύω, alter præſens ab eodem futuro deductum eſſe cenſeat, quorum lectioni Codex quoque favet. Euſtathius tamen conſtanter adſerit ſcribendum eſſe cum duplici ſigma, ut tanquam præſens a futuro λεύσω τοῦ λεύω, quod ſignificat lapido, diſtinguatur, quod diſcrimen neque Heſychius agnoſcit, apud quem legitur λεύσετε.

Digitized by Google

κοινὸν κοίνειον, [1] καὶ διαιρέσει ἰωνικῇ ξυνήϊον.

ρκ΄. Ἀλλὰ τὰ μὲν πολίων) Τὰ καθόλου. πᾶν δὲ ἄρθρον ἀντὶ ἀντωνυμίας λαμβανόμενον βαρύνεται.

ρκα΄. Ταῦτα) [2] Ταῦτα Τυραννίων ὀξύνει, ἵν᾽ ᾖ τὰ αὐτά.

ρκβ΄. Θεῷ πρόες) Πρὸς τὸ ἀναγκαῖον τῆς ἀποδόσεως οὐκ εἶπε πατρὶ πρόες, οὐδ᾽ Ἀχαιοῖς, ἀλλὰ τῷ Θεῷ.

ρκγ΄. Αἴκέ ποθι Ζεὺς) Ὅτι μεθ᾽ ὑπεξαιρέσεως δεῖ ποιεῖν τὰς ὑποσχέσεις, διὰ τὸ ἄδηλον τῆς τύχης. πιστοῦται δὲ τὴν ὑπόσχεσιν ὡς ἐπὶ δανείου, καὶ ἑαυτὸν καθυπογράφων τῷ χρέει.

ut a κοινὸν, *commune* fit κοίνειον, & per Jonicam diæreſin fit ξυνήϊον.

120. Univerſe illud τὰ ſumitur; omnis vero articulus, qui pronominis loco ſumitur, gravi accentu notatur.

121. Tyrannion vocem ταῦτα, accentu acuto in ultima effert, ut idem ſit ac τὰ αὐτὰ, *eadem*.

122. Ut Agamemnonem ad reddendam puellam cogeret, non dixit patri dimitte, neque Achivis, ſed Deo.

123. Quia cum exceptione promiſſa ſunt facienda, quippe quum incertus ſit rerum eventus. Confirmat autem promiſſionem perinde ac ſi mutuum acciperet, ſeque debito ſubſcriberet.

[3] Δῶσι πόλιν Τροΐην εὐτείχεον ἐξαλαπάξαι.
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων,
Μὴ δ᾽ οὕτως, ἀγαθός περ ἐὼν, θεοείκελ᾽ Ἀχιλλεῦ,
Κλέπτε νόῳ, ἐπεὶ οὐ παρελεύσεαι, οὐδέ με πείσεις.
Ἦ ἐθέλεις ὄφρ᾽ αὐτὸς ἔχῃς γέρας, αὐτὰρ ἔμ᾽ αὔτως
Ἧσθαι δευόμενον, κέλεαι δέ με τήνδ᾽ ἀποδοῦναι;
Ἀλλ᾽ εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοὶ,
Ἄρσαντες κατὰ θυμὸν, ὅπως ἀντάξιον ἔσται.

Det urbem Trojam bene munitam diripere.
Hunc autem reſpondens allocutus eſt rex Agamemnon,
Ne ſic quidem quamvis ſis fortis, divine Achilles,
Doloſe agas, quoniam non effugies, neque mihi perſuadebis.
Nunquid vis ut ipſe habeas præmium, ſed me fruſtra
Sedere indigentem; jubeſque me hanc reddere?
Sed ſi dabunt præmium magnanimi Achivi,
Satisfacientes animo meo, ut æquale ſit pretio:

ρκδ΄. Δῶσι πόλιν) [4] Ἐξ ὑποτακτικοῦ τοῦ τρίτου προσώπου, κατὰ ἐπέκτασιν τῆς
σι

124. Ex ſubjunctivi tertia perſona δῶ per productionem ſyllabæ σι
E fit

1. Καὶ διαιρέσει ἰωνικῇ ξυνήϊον) Per ſolam diæreſin Jonicam a ξύνειον fit ξυνήϊον, non ξυνήϊον. addendum ergo καὶ τροπῇ τοῦ ι εἰς η, *& verſo epſilon in* η.

2. Ταῦτα Τυραννίων ὀξύνει) Juxta Tyrannionem ergo ſcribendum παλίλλογα ταυτὰ, *eadem*, ſed per eliſionem τοῦ α, id ratione metri exigente.

3. Δῶσι πόλιν Τροΐην) Τροΐην ſic in codice ſcribitur per dialyſin; in edit. conjunctim Τροίην Videtur autem dialyſis ſenſum plane diverſum efficere, quippe quum urbem aliquam Trojanam, non Trojam ipſam ſignificare videatur, qua de re plura diſſerit Euſtathius.

4. Ἐξ ὑποτακτικοῦ τοῦ τρίτου προσώπου) Id juxta Jonicam dialectum. Cæterum alii a ſecunda

Digitized by Google

σι συλλαβῆς, δῶσι. ἔμφασιν δὲ ἔχει καὶ ἡ προσθήκη τῆς ἐξ.

ρκέ. Ἀγαθός περ ἐών) Ἀντειρώνευται πρὸς τὸ κύδιστε, ὁ δὲ πὲρ ἐναντιωματικός ἐστι. τὸ δὲ ἀγαθὸς σημαίνει καὶ τὸν ἀνδρεῖον, καὶ τὸν φρόνιμον, καὶ τὸν δίκαιον.

ρκϛ΄. Κλέπτε νόῳ) Τὸ κλέπτω σημαίνει καὶ τὸ παραλογίζομαι, καὶ τὸ ἀπατῶ, ὡς ἐνταῦθα, καὶ τὸ κυρίως κλέπτω, ὡς τό, [1] κλέψαι δ' ὀτρύνεσκον ἐΰσκοπον Ἀργειφόντην. [2] γίνεται δὲ ἐκ τοῦ χαλέπτω τὸ ὀργίζομαι. ὀργίζεσθαι γὰρ ὁ κλέπτης ποιεῖ τοὺς ἀπολλοντάς τι, ἢ παρὰ τὸ καλύπτω. καλύπτει γὰρ ὁ κλέπτης ἃ ἀφαιρεῖται.

ρκζ΄. Παρελεύσεαι) [3] Ἀπὸ τῶν δρομέων. Οὔτε τῷ κλέπτειν νικήσεις, οὔτε πείσεις.

ρκη΄. Αὔτως ἧσθαι δευόμενον) Μάτην, καὶ ἔστιν ἐπίρρημα μεσότητος, καὶ ψιλοῦται πρὸς ἀντιδιαστολὴν τοῦ ἑτέρου, τοῦ σημαίνοντος τὸ οὕτως. [4] καὶ ψιλοῦται διότι τὸ στερητικὸν α ψιλοῦται. καὶ πῶς ἐστι στερητικόν; ἐστι ἐτός, καὶ σημαίνει τὸν ἀληθῆ, ἐξ οὗ καὶ πλεονασμῷ τοῦ ε ἐτεός. τοῦτο παρὰ τὸ ἔω τὸ ὑπάρχω, ἐμί, ἐξ αὐτοῦ γίνεται ἐτός, ὁ ἀληθής. ὁ γὰρ ἀληθὴς ὑπάρχει, τὸ δὲ ψεῦδος οὐχ ὑπάρχει. καὶ μετὰ τοῦ στερητικοῦ α ἄετος, καὶ αὐτ-

fit δῶσι. Emphaſin vero habet & additamentum præpoſitionis ἐξ,εν (in ἐξαλαπάξαι)

125. Ironia viciſſim pro ironia illa κύδιστε, glorioſiſſime rependitur. Particula vero πὲρ adverſativa eſt. Vox autem ἀγαθὸς ſignificat etiam virilem, & prudentem, & juſtum.

126. Verbum κλέπτω tria ſignificat; παραλογίζομαι, *circumvenio*; ἀπατῶ, *fallo*, qua ſignificatione hoc loco ſumitur; & proprie κλέπτω, *furor*, ut ibi: *furtoque ſurripere hortabantur ſpeculatorem Argicidam*. Fit autem a χαλέπτω, quod ſignificat ὀργίζομαι, *iraſcor*; fur enim iraſci facit eos, qui furto rem aliquam ſurreptam amiſerunt: vel a καλύπτω, *abſcondo*; fur enim quæ furatur abſcondit.

127. Sumpta metaphora a curſoribus, neque circumveniendo vinces, neque perſuadebis.

128. Idem ſonat ac μάτην, *fruſtra*, eſtque adverbium medium, quod leni ſpiritu notatur duabus de cauſſis. Primo ut diſtinguatur ab alio, quod ſignificat οὕτως, *ſic*; deinde quia alpha privativum tenuatur. Inquiet aliquis quomodo eſt privativum? Thema eſt ἐτὸς, quod ſignificat τὸν ἀληθῆ, *verum*; ex quo per pleonaſmum literæ epſilon fit ἐτεός. Hoc deſcendit a verbo ἔω, quod ſignificat exiſto, & ἐμὶ, ex quo fit

perſona ſubjunctivi δῶς per epectaſin literæ jota derivari adſerunt δῶσι. Quemadmodum enim, aiunt, a λάβῃς fit λάβῃσι, a λάχῃς λάχῃσι, & id genus alia; ſic a δῶς fit δῶσι.

1. Κλέψαι δ' ὀτρύνεσκον] Iliad. lib. XXIV. v. 24.
2. Γίνεται δὲ ἐκ τοῦ χαλέπτω) Hæc etymologia in Etymologico magno deſideratur.
3. Ἀπὸ τῶν δρομέων) Scholiaſtes apud Barneſium: ἀπὸ μεταφορᾶς τοῦ δρόμου, ἐν ᾧ ὁ παρελθὼν νικᾷ, *ſumpta metaphora a curſu, in quo vincit qui antecedit alios*.
4. Καὶ ψιλοῦται) Id contra editiones eas, quæ habent οὕτως cum ſpiritu aſpero.

ἀνεβίβαζε τὸν τόνον. τὰ γὰρ εἰς ο̃ς δισύλλαβα ἀναβιβάζουσι τὸν τόνον ἐν τῇ συνθέσει, καὶ κλίνεται ἀέτυ. τὸ πληθυντικὸν οἱ ἄετοι, ἀέτων, καὶ ἐξ αὐτῦ ἐπίῤῥημα μεσότητος ἀέτως, καὶ κράσει τῦ αε εἰς τὴν αυ δίφθογγον, αὔτως. ὥσπερ ἀέρα αὖρα, καὶ αἱ γρᾶες γραῦς, καὶ αἱ νάες αἱ ναῦς.

fit ἐτὸς, quod idem ſonat ac ἀληθὴς, *verus*. Veritas enim exiſtit, mendacium nequaquam; & præfixo alpha privativo fit ἄετος, rejecto in præcedentem ſyllabam accentu. Nomina enim diſyllaba in ο̃ς deſinentia in compoſitione accentum in præcedentem rejiciunt. Et declinatur ἀέτυ, plural. οἱ ἄετοι, ἀέτων, ex quo adverbium medium ἀέτως, & per craſin vocalium αε̃ in diphthongum αυ̃ fit αὔτως, quemadmodum ab ἀέρα fit αὖρα, *aura*, & a γρᾶες γραῦς, *anus*, & a νάες ναῦς, *naves*.

ρκθ΄. Κέλεαι δέ με τήν δ᾽ ἀποδοῦναι) Καὶ μὴν ὁ μάντις εἶπε, πρίν γ᾽ ἀπὸ πατρὶ φίλῳ δόμεναι. ἀλλά γε αὐτὸς ἐκκλησιάζει.

129. Atqui vates prædixerat. *antequam patri ſuo reddatur*; veruntamen (ea de re objurgatur Achilles) quia ipſe concionatur.

ρλ΄. Ἄρσαντες κατὰ θυμόν) 1 Ἀρίσαρχος δασύνει. ἔνθεν γάρ φησι γεγονέναι καὶ ἅρμα, ὁ δὲ Ἡρωδιανὸς ψιλοῖ, ἀπὸ τῦ ἄρω, ὗ ὁ μέλλων αἰολικῶς ἄρσω. τὸ δὲ α̃, ἢ τὸ ε̃ πρὸ τῦ ρ̃ ὄντα, ἑτέρυ φωνήεντος ἐπιφερομένυ, ψιλῦται. ἔοικε δὲ βασιλικὸν εἶναι τὸ ἐκλέγεσθαι τῆς λείας ὃ θέλοι.

130. Ariſtarchus eam vocem ſpiritu aſpero notat, ex qua originem traxiſſe ait nomen ἅρμα, *currus*: Herodianus contra ſpiritu leni effert ab ἄρω, *tollo*, cujus futurum Aeolice ἄρσω, *tollam*. Alpha vero vel epſilon ante rho, alia vocali ſubſequente, leni ſpiritu notatur. Videtur autem ad regiam pertinere poteſtatem ſeligere in predæ diviſione quod libet.

ρλά. Ὅπως ἀντάξιον ἔσαι) Ἀττικὴ τῶν προτέρων ἡ παράλειψις, ὡς τὸ, 2 κἂν μὲν ὁμολογῆτε μόνην ἀγαθῶν ἁπάντων ἔσαν αἰτίαν ἐμὲ ὑμῖν, δι᾽ ἐμέ τε ζῶντας ὑμᾶς. εἰ δὲ μὴ, ποιεῖτον ἤδη τῦθ᾽ ὃ ὑμῖν δοκεῖ. καὶ πάλιν, εἰ μὲν ὖν

131. Ad Atticam dialectum pertinet præcedentium apodoſin omittere, ut eſt illud: *Et ſiquidem confitemini ſolum me univerſorum bonorum cauſſam vobis eſſe; ſin minus, facite quod vobis videtur*. Rurſus, *ſi igitur quiſ-*

1. Ἀρίσαρχος δασύνει κ. τ. λ.) Euſtathius ad eam vocem Veterum ſententiam iiſdem pene verbis affert φασὶ δὲ οἱ παλαιοὶ ὅτι Ἀρίσαρχος μὲν δασύνει τὸ ἄρσαντες, λέγων ἐξ αὐτῦ γενέσθαι τὸ ἅρμα, Ἡρωδιανὸς δὲ ψιλοῖ, ὡς ἀπὸ ἄρω, ἄρσω αἰολικῶ. Hinc colligitur Scholia hæc Euſtathii quoque tempore vetuſta fuiſſe.

2. Κἂν μὲν ὁμολογῆτε μόνην ἀγαθῶν] Ariſtophanes Plut. v. 468. κἂν μὲν ἀποφήνω μόνην ἀγαθῶν ἁπάντων ἔσαν αἰτίαν ἐμὲ. εἰ δὲ μὴ, ποιεῖτον ἤδη τῦθ᾽ ὅτι γ᾽ ἂν ὑμῖν δοκῇ, quibus adjungi poſſet illud, quod initio lib. 3. Hiſt. Thucyd. legitur. καὶ εἰ μὲν συμβῇ ἡ πεῖρα. εἰ δὲ μὴ, Μιτυληναίοις

ὧν ἐςί τις. εἰ δὲ μὴ, ἡμεῖς, καὶ τὰ δουλάρια . . . . ἐπὶ γὰρ πάντων τὸ καλῶς ἔχοι, ὡς καὶ ἐνταῦθα ἐλλείπει.

quiſpiam eſt ; ſin minus , nos , & ſervuli noſtri . . . . In omnibus enim prædictis, quemadmodum & hoc loco deficit καλῶς ἔχοι, *recte ſe baberet*.

Εἰ δέ κε μὴ δώσουσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι
Ἢ τεὸν ἢ Αἴαντος ἰὼν γέρας, ἢ Ὀδυσῆος
Ἄξω ἑλών. ὁ δέ κεν κεχολώσεται, ὅν κεν ἵκωμαι.
Ἀλλ' ἤτοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖτις.
Νῦν δ' ἄγε νῆα μέλαιναν ἐρύσσομεν εἰς ἅλα δῖαν.
Ἐς δ' ἐρέτας ἐπιτηδὲς ἀγείρομεν, ἐς δ' ἑκατόμβην
Θήσομεν, ἂν δ' αὐτὴν Χρυσηΐδα καλλιπάρῃον
Βήσομεν. εἷς δέ τις ἀρχὸς ἀνὴρ βουληφόρος ἔστω.

Sin autem non dederint, ego certe ipſe auferam
Vel tuum, vel Ajacis veniens præmium, vel Ulyſſis
Abducam ablatum : & is indignabitur ad quem venero.
Verum de his poſt conſultabimus etiam alias.
Nunc autem age navem nigram deducamus in mare vaſtum,
Et remiges peritos cogamus, hecatombenque
Imponamus, & ipſam Chryſeida pulchram genas
Conſcendere faciamus, & aliquis præfectus ex proceribus ſit,

ρλβ'. Ἢ τεὸν, ἢ Αἴαντος ἰὼν γέρας) Ἐνδεικνύμενος τὴν ἀρχὴν πᾶσιν ἀπεχθάνεσθαι, μάλιςα δὲ τοῖς Ἀχιλλέως. Ὀδυσσέως δὲ γέρας Λαοδίκη ἡ Κύκνου. τούτων δὲ μέμνηται ὅτι ὁ μὲν συγγενὴς, ὁ δὲ φίλτατος. ἀμέλει καὶ τελευτῶντος [1] μόνοι περιέςησαν τοῦ σώματος, καὶ μόνοι πρεσβεύονται πρὸς αὐτόν. μέχρι δὲ τοῦ γέρας δεῖ ἀναπαύειν τὸν λόγον, τὰ δὲ λοιπὰ τοῖς ἑξῆς ἐπιφέρειν, ἵνα μὴ παρενοχλεῖν δοκῇ δὶς τὸ ἑλὼν κείμενον.

132. Oſtendens imperium omnibus inviſum eſſe, maxime vero Achillis ſociis. Ulyſſis autem præmium fuit Laodice Cycni filia. Horum vero meminit, quia alter genere propinquus, alter in ejus intimis maximeque neceſſariis fuit. Hi videlicet eo defuncto corpus cuſtodierunt; & ſoli legatorum munus ad ipſum, dum viveret, obierunt. Ad vocem autem γέρας ſiſtenda eſt oratio; reliqua iis quæ ſubinde ſequuntur adnectenda, ne verbum ἑλὼν bis (in eodem orationis membro) poſitum, faſtidium exhibere lectori videatur.

ρλγ'. Ἢ Αἴαντος ἰὼν γέρας, ἢ Ὀδυσσῆος ἄξω ἑλών) Ἄλογον τὸ καὶ τούτους συνυβρίζειν τοὺς μηδὲν ἀδικήσαντας, ἢ πλημμε-

133. Abſurdum eſt hos quoque una cum Achille injuria afficere, qui nihil injuſti malive fecerunt. Solutio patet ex

ἀπεῖν ναῦς τε παραδῦναι, καὶ τείχη καθελεῖν. μὴ πειθομένοις δὲ πολεμεῖν, in his enim exemplis deficit καλῶς ἔχει, vel aliquid hujuſmodi, ut παύσομαι, vel ἡσυχάσω, ut monet Corinthus in dialectis.

1. Μόνοι περιέςησαν τοῦ σώματος) Circumſtantes enim præſidio erant cadaveri, paratique etiam [illegible] ad pugnam [illegible], ne ſpoliaretur. Heſychius ad vocem ἀμφίβασις: Ἀμφίβασις. ὑπὲρ νεκροῦ μάχη. περιβάντες γὰρ τὸν νεκρὸν ἐμάχοντο περὶ τοῦ σώματος, ἵνα μὴ σκυλευθῇ.

Digitized by Google

μελήσαντας. ἡ λύσις ἐκ τοῦ προσώπου. ὑπόκειντι γὰρ Ἀχιλλέως φίλοι ἀμφότεροι.

ρλδ΄. Ἐρώτησις) Διατί δὲ συνεχῶς ὁ Ἀγαμέμνων ἐν ταῖς πρὸς Ἀχιλλέα διαπληκτίσεσιν Αἴαντος, καὶ Ὀδυσσέως μνημονεύει; καὶ ἐν τῇ ἀφαιρέσει τῶν τιμῶν, ἢ τεὸν, ἢ Αἴαντος ἰὼν γέρας, ἢ Ὀδυσῆος ἄξω ἑλών. καὶ μετ᾽ ὀλίγον ἐφεξῆς ὅτι δεῖ πέμψαι τὴν Χρυσηίδα φησὶν, εἷς δέ τις ἀρχὸς ἀνὴρ βουληφόρος ἔστω, ἢ Αἴας, ἢ Ἰδομενεὺς, ἢ δῖος Ὀδυσσεὺς, ἠὲ σὺ Πηλείδη πάντων ἐκπαγλότατ᾽ ἀνδρῶν. καὶ γὰρ ἀτιμάζειν ἀπειλῶν συγκαταλέγει Αἴαντα, καὶ Ὀδυσσέα τῷ Ἀχιλλεῖ, καὶ ἀποστέλλειν πρὸς τὸν Θεὸν ἐπαγγελλόμενος, ἐξ Αἴαντος, καὶ Ὀδυσσέως, καὶ Ἀχιλλέως φησὶν ἕνα ἀποστέλλειν. Ὅτι μὲν ἀτιμάσαι ἀπειλεῖ, προθεὶς τὸν Ἀχιλλέα μετὰ τῶν ἀτιμαζομένων ἢ τεὸν, ἢ Αἴαντος ἰὼν γέρας, ἢ Ὀδυσῆος. ὅτι δὲ ὑπὲρ τῶν Ἑλλήνων θύειν ἔδει ἀπελθόντα, ἢ Αἴας, ἢ Ἰδομενεὺς, ἢ δῖος Ὀδυσσεὺς, ἠὲ σὺ Πηλείδη. Λύσις. Ὅτι οὗτοι ἐδόκουν μάλιστα φίλοι εἶναι Ἀχιλλέως. Διὸ καὶ ὁ Νέστωρ αὐτοὺς καταλέγων πρεσβευτὰς πρὸς Ἀχιλλέα, τούτους αἱρεῖται, καὶ Ἀχιλλεὺς εὐμενέστατος ὁρᾷ ἐλθόντας τούτους, καὶ δεξιοῦται, καὶ ὁμολογεῖ τὸ προϋπάρχον φίλτρον. [1] οἵ μοι σκυζομένῳ περ Ἀχαιῶν φίλτατοί ἐστὸν, καὶ χαίρετον ἢ φίλοι ἄνδρες ἱκάνετον. συνατιμάζει οὖν τούτους, καὶ συγκαταλέγει, ὡς φίλους ὄντας τῷ Ἀχιλλεῖ τὰ μάλιστα.

ex perſona, quippe quum uterque Achillis amicus ſtatuatur.

134. Interrogatio. Quam ob cauſſam Agamemnon in altercationibus cum Achille ſemper Ajacis & Ulyſſis meminit? Nam cum ablaturum ſe præmium ei minatur ait: *vel tuum, vel Ajacis, vel Ulyſſis præmium auferam.* Et paullo poſt quum remittere Chryſeidem ſtatuit, hæc habet: *unus vero quiſpiam præfectus ſit vel Ajax, vel Idomeneus, vel divinus Ulyſſes, vel tu Pelide omnium terribiliſſime virorum.* Siquidem quum dedecore affecturum ſe Achillem minatur, cum Achille Ajacem & Ulyſſem recenſet; quum vero Chryſeidem ad Deum remittere decernit, de tribus, Ajace nimirum, Ulyſſe, & Achille, unum ſe emiſſurum pollicetur. Nempe quum ignominiam ſe Achilli illaturum minatur, primum locum inter alios ei tribuit tali pacto: *vel tuum, vel Ajacis præmium veniens, vel Ulyſſis abducam*: quum vero pro Græcis ſacrificandum erat, poſtremo loco eum recenſet hoc modo: *vel Ajax, vel Idomeneus, vel divinus Ulyſſes, vel tu Pelide.* Solutio patet ex eo, quod hi videbantur in Achillis intimis maximeque neceſſariis eſſe. Quocirca ipſe quoque Neſtor quum legatos ad Achillem recenſet, hos eligit; & Achilles quum accedentes eos ad ſe cernit, alacri animo excipit, atque amplectitur, & amiciciæ fœdus, quo inter ſe juncti erant, confitetur his verbis: *qui mihi quamvis irato Achivorum*

ρλέ rum

1. Οἴ μοι σκυζομένῳ) Iliad. IX. v. 197.

ρλε΄. Ἀλλ᾽ ἤτοι μὲν ταῦτα) Εὐσεβῶς, καὶ βασιλικῶς μεταφέρει τὸν λόγον, καὶ οἶδε μὲν εὖ ἔχησαν τὴν παραίνεσιν, ἐπεὶ οὐκ ἂν ἔπραξεν.

ρλϛ΄. Νῦν δ᾽ ἄγε τῆα) Καὶ ταῖς φωναῖς κυρίως κέχρηται, καὶ μίαν τὴν δωρεὰν οὖσαν, πολλὰς ἐν τῇ διαιρέσει ποιεῖ. ἔστι δὲ ἐν τῷ λόγῳ καὶ τὸ 1 ὁμοιοτέλευτον καλούμενον σχῆμα.

ρλζ΄. Ἐπιτηδὲς) Τὸ ἐπιτηδὲς ὀξυντέον. ἀπὸ τοῦ ἐπιτηδεῖς γάρ. 2 τὰ δὲ ὀνοματικὰ ἐπιῤῥήματα τὸν αὐτὸν τοῖς ὀνόμασι φυλάσσει τόνον.

ρλη΄. Ἀρχὸς) Ὧ τὰ κοινὰ τῆς βουλῆς ἐπαναφέρεται. ἐκ τοῦ ἀρχὸς δὲ ναύαρχον ἐδήλωσεν.

rum amiciſſimi eſtis, & ſalvete, ſane amici viri veniſtis. Hos igitur una cum Achille dedecore afficit, & recenſet, quia ei amiciſſimi erant.

135. Pie & ut regem decet in aliud tempus orationem transfert; & novit id conſilii, quod cæperat, recte ſe habere; alias enim id non egiſſet.

136. Verbis cum imperio ac poteſtate utitur, & unum quod eſt donum in diviſione multiplex facit. Eſt autem in oratione & ſimiliter deſinens quæ dicitur figura.

137. Vox ἐπιτηδὲς acuenda eſt; manat enim a plurali nominat. ἐπιτηδεῖς, *idonei*. Adverbia vero, quæ a nominibus originem trahunt, eundem retinent tonum, quem ipſamet nomina præferunt.

138. Ad quem communia conſilii referuntur. Per illud autem ἀρχὸς navis præfectum oſtendit.

Ἢ Αἴας, ἢ Ἰδομενεύς, ἢ δῖος Ὀδυσσεύς,
Ἠὲ σὺ Πηλείδη, πάντων ἐκπαγλότατ᾽ ἀνδρῶν,
Ὄφρ᾽ ἡμῖν Ἑκάεργον ἱλάσσεαι ἱερὰ ῥέξας.
3 Τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς.
Ὤ μοι ἀναιδείην ἐπιειμένε, κερδαλεόφρον,
Πῶς τίς τοι πρόφρων ἔπεσιν πείθηται Ἀχαιῶν,

Vel Ajax, vel Idomeneus, vel divinus Ulyſſes,
Vel tu Pelide, omnium terribiliſſime virorum,
Ut nobis Apollinem places ſacris factis.
Hunc autem torve intuitus allocutus eſt pedes velox Achilles,
Heu impudentia indute, vaſer,
Quomodo aliquis tibi promptus obediens verbo ſit Achivorum,

Ἤ vel

1. Ὁμοιοτέλευτον καλούμενον σχῆμα) Figura ὁμοιοτέλευτον juxta Plutarchum de Schem. Homer. eſt, in qua membra in voces ſono ſimiles deſinunt, & eaſdem in fine ſyllabas habent, ut ibi: χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν. Quando vero in nomina, quæ ſimiliter declinantur, periodi ſeu membra deſinunt, idque in eodem caſu fit, ὁμοιόπτωτον proprie nuncupatur, cujuſmodi eſt illud:
Ἠΰτε ἔθνεα εἶσι μελισσάων ἀδινάων,
Πέτρης ἐκ γλαφυρῆς αἰεὶ νέον ἐρχομενάων.
2. Τὰ δὲ ὀνοματικὰ κ. τ. λ.) Per hanc igitur regulam corruit diſtinctio, quam nonnulli tradunt inter ἐπίτηδες, & ἐπιτηδὲς, quorum alterum βαρυτόνως prolatum adverbium eſſe dicunt pro ἐπιτηδείως, alterum ὀξυτόνως, nomen pro ἐπιτηδεῖς.
3. Τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν κ. τ. λ.) Sic apud Heſiodum in Scuto v. 445. Minerva contra Martem deſcribitur:
Δεινὰ δ᾽ ὑπόδρα ἰδοῦσ᾽ ἔπεα πτερόεντα προσηύδα.

Digitized by Google

Ἠ' ὁδὸν ἐλθέμεναι, ἢ ἀνδράσιν ἶφι μάχεσθαι;

Οὐ γάρ ἐγὼ Τρώων ἕνεκ' ἤλυθον αἰχμητάων

Vel ut ad inſidias eat, vel adverſus viros fortiter pugnet?
Non enim ego Trojanorum gratia veni bellicoſorum

ρλθ'. Ἢ Ἄιας, ἢ Ἰδομενεύς, ἢ δῖος Ὀδυσσεύς) Θεραπεύει τοὺς δοκοῦντας σὺν τῷ Ἀχιλλεῖ διὰ τῆς ἀπειλῆς ὑβρίσαι, παρενθεὶς, ἕνεκα τοῦ μὴ δοκεῖν κολακεύειν, τὸν Ἰδομενέα. φυλακτέον δὲ ὅτι ὅταν ἀτιμάσαι ἀπειλεῖ, προςτίθησι τὸν Ἀχιλλέα, ὅτε δὲ ὑπὲρ τῶν Ἑλλήνων θῦσαι ἀπελθόντα ἔδει, τελευταῖον καταλέγει μετὰ ὕβρεως.

ρμ'. Ἠὲ σύ) Ἵνα ἢ ἀπελθὼν ἠπιωθῇ, ἢ μὴ ἀπελθὼν τὴν τοῦ λοιμοῦ αἰτίαν αὐτὸς ἕξει.

ρμά. Ὄφρ' ἧμιν Ἑκάεργον ἱλάσσεαι ἱερὰ ῥέξας) Ἀντὶ τοῦ ἡμῖν ἀντωνυμίας. ἔστι γὰρ διαλέκτου ἴδιον Δωριέων. αἱ δὲ ἀντωνυμίαι ἡνίκα ὁρισμὸν δηλοῦσι, μένουσι ἐν τῷ αὐτῷ τόνῳ, οἷον, ἡμῖν τόδ' ἔφηνε, καὶ, ὑμῖν μὲν νεμεσσῶμαι περὶ κηρί. ὅτε δὲ ἀπόλυτον ἔχουσι τὸ σημαινόμενον, ἐγκλίνονται. εἰ δ' ὔμιν δοκέει τόδε λώϊτερον. σὺν δ' ἧμιν δαῖτα ταράξῃ, καὶ ὡς ἐνταῦθα.

ρμβ'. Ὑπόδρα) Ἐπίῤῥημα. πόθεν γίνεται; [1] Ὁ μὲν Ἀπολλόδωρος δύο λέγει παραγωγὰς, ὁ δὲ Ἡρωδιανὸς μίαν, ὡς ἀπὸ περισπωμένων οὕτως. ὥσπερ γὰρ ἀπὸ τοῦ ἠρεμῶ γίνεται ἠρέμα, καὶ ἀπὸ τοῦ σιγῶ σίγα, ὡς Σοφοκλῆς, οὐ σίγ' ἀνέξῃ, μηδὲ δειλίαν ἀρεῖς; οὕτω καὶ ἐκ τοῦ ὁρῶ, καὶ τῆς ὑπὸ προθέσεως γίνεται ὕποδρα, καὶ πλεονασ-

139. Permulcet ac delinit eorum animos, quos per minas una cum Achille injuria affeciſſe ſibi videtur, idcirco interponens Idomeneum, ne adulari videretur. Illud vero obſervandum eſt quum dedecus ſe illaturum minatur, Achillem præponere; quum vero pro Græcis abeundo ſacrificandum erat, eum poſtremo loco cum ignominia recenſere.

140. Ut abeundo placetur, vel abire nolens, ipſe peſtis cauſſa dicatur.

141. Pro ἡμῖν, *nobis* pronom. juxta Doricam dialectum. Pronomina porro quando definitam habent ſignificationem, eundem tonum retinent, ut: *nobis hoc apparuit. vobis animo ſuccenſeo*; quando vero abſolutæ ſunt ſignificationis, accentum in præcedentem ſyllabam transferunt, ut ibi: *ſi vobis videtur hoc melius. Nobis convivium conturbet.*

142. Eſt adverbium. Quæret aliquis unde manet? Apollodorus duplicem in eo admittit paragogen; Herodianus vero unam tanquam a verbo circumflexo manantem tali pacto. Quemadmodum enim ab ἠρεμῶ, *quieſco* fit ἠρέμα, *quiete*, & a σιγῶ, *taceo* σίγα, *tacite*, ut apud Sophoclem: *non tacebis, neque demes timorem?* ſic ab ὁρῶ, vi-

1. Ὁ μὲν Ἀπολλόδωρος δύο λέγει παραγωγὰς, ὁ δὲ Ἡρωδιανὸς μίαν) Hæc apud Etymologum deficiunt; cætera quæ ſequuntur cum eodem Etymologo conveniunt.

2 Οὐ σίγ' ἀνέξῃ) Sophocles in Ajace Flagell. v. 76. ubi Minerva: Οὐ σίγ' ἀνέξῃ, μηδὲ δειλίαν ἀρεῖς;

γασμῶ τῦ δ' ὑπόδρα, τὸ ὑφορᾶσθαι. ἔςι δὲ καὶ ἄλλως. ἔςι γὰρ δρῶ, καὶ σημαίνει τὸ βλέπω, ἐξ ὖ καὶ δράσις, καὶ δράμα. ἐκ τῦ ὖν δρῶ γίνεται δρᾷ, καὶ μετὰ τῆς ὑπὸ προθέσεως ὑπόδρα, τὸ ὑποβλέπειν. καὶ δραπέτης ὖν ἐξ αὐτῦ. Ὁ δὲ Ἡρωδιανὸς λέγει ὅτι ἐκ τῦ ὑποδρὰξ γίνεται. ὀξύνεται δὲ ἐπειδὴ τὰ εἰς ξ λήγοντα ἐπιῤῥήματα, χωρὶς εἰ μὴ παρὰ πρόθεσιν γίνεται, ἅπαντα ὀξύνονται, οἷον, [1] ςῆ δ' ἐυρὰξ σὺν δυρὶ λαθὼν, ἀπρὶξ, ἐναλλὰξ, κνειξ. εἶπε δὲ, εἰ μὴ παρὰ πρόθεσιν γίνεται, διὰ τὸ πέριξ. [2] τὸ γὰρ πάριξ ἔχει μὲν πλέον τὶ σημαινόμενον. ὅτε γὰρ ὀξύνεται, ὖ φαμὲν εἶναι αὐτὸ ἐπίῤῥημα, ἀλλὰ β προθέσεις. σεσημείωται τὸ ἅπαξ, καὶ τῦτο ὅπερ ὤφειλε δέξασθαι ἐν τῇ ἁπλότητι, ἐδέξατο ἐν τῇ συνηθείᾳ, ἅπαξ ἁπλῶς ἀπαξαπλῶς. τὸ δὲ ὑποδρὰξ ἀποβαλὸν τὸ σύμφωνον, ἀνεβίβαζε τὸν τόνον, ὥσπερ ἀνυςὶς ἀνύτης, δεσποςὶς δεσπότης. Οὕτω καὶ ἐν τῷ ὑποδρὰξ. ἀποβαλὸν γὰρ τὸ σύμφωνον, ἀνεβίβαζε τὸν τόνον.

video, & præpoſitione ὑπὸ fit ὑπόρᾳ; & per pleonaſmum literę delta ὑπόδρα, quod ſignificat torvis oculis aſpicere. Alio quoque modo etymologia illius vocis reddi poteſt. Nimirum eſt verbum δρῶ, quod ſignificat βλέπω, *aſpicio*, ex quo δράσις, & δράμα. A verbo itaq. δρῶ fit δρᾷ, & cum præpoſitione ὑπὸ fit ὑπόδρα, quod ſignificat torve aſpicere. Illinc manat etiam δραπέτης, *fugitivus*. Herodianus vero adſerit eam vocem ex ὑποδρὰξ, *torvus* deſcendere, & accentu, inquit, acuto notatur, quia omnia adverbia in ξ. deſinentia, niſi a præpoſitione fiant, acuuntur. Ut exemplo ſunt: *ſtetit autem a latere haſta latens*, ἀπρὶξ, ἐναλλὰξ, κνειξ. Dixit autem *niſi a præpoſitione fiant*, idq. ut exciperetur πέριξ, *circum*. At πάριξ latius patet; quando enim acuitur, non eſt adverbium, ſed duas præpoſitiones in ſe complectitur. Excipitur (a prædicta Herodiani regula) τὸ ἅπαξ, *ſemel*, idque quod in ſimplici ejus ſignificatione habere deberet, in compoſitione præſefert (accentum videlicet in ultima) quippe quum dicatur ἅπαξ ἁπλῶς ἀπαξαπλῶς. Vox porro ὑποδρὰξ abjecta litera conſon. accentum in præcedentem ſyllabam tranſtulit; quod enim accidit in ἀνυςὶς ἀνύτης, δεσποςὶς δεσπότης, idem quoq. evenit in voce ὑποδρὰξ, ablata videlicet litera conſon. accentus in præcedentem rejicitur.

1. Στῆ δ' ἐυρὰξ) Iliad. XI. v. 251. Στῆ δ' ἐυρὰξ σὺν δυρὶ λαθὼν Ἀγαμέμνονα δῖον.
2. Τὸ γὰρ πάριξ ἔχει μὲν πλέον τι σημαινόμενον] Heſiodus in Scuto Herculis v. 352. 353.
Ἀλλὰ παρὶξ ἔχε δίφρον ἐΰξοον, ἠδὲ κέλευθα
Εἴκε πάριξ ἰέναι . . . .
ad quem locum Scholiaſtes habet. τὸ πάριξ, καὶ τὸ παρὶξ διαφέρουσι. τὸ μὲν γὰρ πάριξ σημαίνει τὸ

Digitized by Google

ρμγʹ. Ὦ μοι ἀναιδείην ἐπιειμένε, κερδαλεόφρον) Διετύπωσε νέον φιλότιμον ἥττονα δικαίου θυμοῦ διὰ τοῦ, ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην. τὸ δὲ ἐπιειμένε, οἱονεὶ προφανῆ τὴν ἀναίδειαν ἔχων, ἀπὸ μεταφορᾶς τῆς ἔξω, καὶ πᾶσιν ὁρωμένης τῆς ἐσθῆτος. ἐστι δὲ φύσει τοιοῦτος ὁ φιλοχρήματος, καὶ τὴν οἰκείαν ἀναίδειαν εἰς προῦπτον δείκνυσιν. ἐάσας δὲ τὸ γέρας, ὃ ἄνω καὶ κάτω θρυλεῖ, κοινὰς ἀδικίας διέξεισι, φιλοτέχνως τὴν ἰδίαν ὕβριν κοινὴν ποιούμενος, καὶ ἐπισείων αὐτῷ τὸ πλῆθος.

ρμδʹ Κερδαλεόφρον) Ἁπλᾶ μὲν ὄντα μέσα ἐστὶ, συντιθέμενα δὲ ψόγον δηλοῖ, ὡς ὄψα ἐσθίειν, καὶ ὀψοφαγεῖν. φησὶ γοῦν [1] κέρδεα ποιοῦθ', οἵ οὔπω τιν' ἀκούομεν. φυλάσσει δὲ τὸν τόνον ἀπὸ φρὴν, τὰ δὲ ἄλλα ἀναπέμπει, οἷον Ἀγάμεμνον, πλὴν τοῦ Λακεδαῖμον.

Ἄλλο. παρὰ τὸ [2] κερδαλεὸν, καὶ τὸ φρένα, τὸ δὲ κερδαλεὸν παρὰ τὸ κερδῶ κερδαίνω. τὸ κερδαίνω παρὰ τὸ κέαρ, καὶ τὸ αἶνος, τοῦτ' ἐστιν ὁ τὸ κέαρ ἰαίνων.

ρμεʹ. Πῶς τίς τοι) Τοῦτο κατὰ ἀγανάκτησιν ἤτοι ἐπιτίμησιν.

ρμϛʹ.

143. Novum contentionis genus juſta ira deterius delineavit per ea verba: *oculi vero ei igni micanti ſimiles erant*. Vox autem ἐπιειμένε idem ſonat ac perſpicuam impudentiam præſeferens, ſumpta metaphora a veſte, quæ extrinſeca eſt, & ab omnibus conſpicitur. Iſtiuſmodi ſane naturæ eſt avarus, quippe qui ſuam impudentiam in propatulo gerat. Omiſſa porro diſputatione præmii, quod ſuperius & infra jactitat, communes injurias perſequitur, artificioſe injuriam ſibi illatam omnibus communem faciens, populumque adverſus Agamemnonem concitans.

144. Hujuſmodi voces ſi extra compoſitionem ſumantur, mediæ ſunt ſignificationis; compoſitæ vero probrum ſignificant. Ut ὄψα ἐσθίειν, *opſonia comedere*, & ὀψοφαγεῖν, *opſonia devorare*. Ait igitur ejuſmodi quæſtibus addictum fuiſſe Agamemnonem, quales nunquam audivimus. Retinet autem accentum a φρὴν translatum; cætera vero in præcedentem ſyllabam transferunt, ut Ἀγάμεμνον, *Agamemnon*, præter Λακεδαῖμον, *Lacedæmon*.

Aliud. Componitur a κερδαλεὸν, *lucroſum*, & φρένα, *mentem*; κερδαλεὸν autem manat a κερδαίνω, quod ſignificat lucrifacio, & hoc fit a κέαρ, *cor*, & αἶνος, *laus*, hoc eſt qui cor exhilarat.

145. Hoc dicit vel per indignationem, vel objurgationem.

F 146.

ἐκτὸς, καὶ βαρύνεται, καὶ συντάσσεται μετὰ γενικῆς. ἐστι δὲ κοινόν. τὸ δὲ παρὲξ οὐ τὸ ἐκτὸς μόνον σημαίνει, ἀλλὰ καὶ τὸ πλησίον, ὡς τὸ, παρὲξ ἅλα, ἤγουν ἐκτὸς πλησίον τῆς θαλάσσης, καὶ ὀξύνεται, καὶ συντάσσεται μετὰ αἰτιατικῆς, ἐστι δὲ καὶ ποιητικόν.

1. Κέρδεα ποιοῦθ'] Phraſis Homero uſitata Odyſſ. II. v. 118. Κέρδεά θ' οἵ οὔπω τιν' ἀκούομεν οὐδὲ παλαιῶν.

2. Παρὰ τὸ κερδαλεὸν) Auctor Etymologici Magni deducit τὸ κερδαλεόφρον παρὰ τὸ φρένα καὶ

ρμϛ΄. Ἠ' ἰδὲν ἐλθέμεναι) 1 Φασὶ μὲν τινες περὶ τῦ πλῦ λέγειν, ἐγὼ δὲ τὸν λόχον φημὶ, ἵνα δύο κινδύνυς ὁρίζῃ ἐν ταυτῷ, ὃν μὲν τῶν ἀρισέων ὡς ἴδιον, ὃν δὲ τῶν ὄχλων ὡς κοινὸν, ὡς κἀκεῖ. ὐδέποτ' ἐς πόλεμον ἅμα λαῷ, ὔτ' εἰς λόχον ἰέναι.

146. Quidam hoc loco Poetam de navigatione loqui ajunt; ego vero de inſidiis intelligendum eſſe ſentio, ut duo ſimul pericula definiat. Optimatum unum tanquam proprium, multitudinis alterum tanquam commune, ut & ibi: *nunquam ad bellum una cum populo, neque ad inſidias ire una cum optimatibus auſus es.*

ρμζ΄. Ἀ'ιχμητάων) Ὁ' ἔπαινος τῶν πολεμίων καὶ Ἀ'γαμέμνονα λυπεῖ, καὶ Ἀ'χιλλεῖ φέρει δόξαν, ὡς ἐπ' ἀνδρείυς ϛρατεύσαντι.

147. Hoſtium laus Agamemnonem torquet, & Achilli gloriam affert, quippe quum adverſus viros fortes exercitum duxerit.

Ἄλλο. παρὰ τὸ αἰχμὴ, αἰχμῶ, αἰχμᾷς, αἰχμάσω. αἰχμὴ, ἥτις παρὰ τὸ ἀΐσσω γέγονεν ἰαχὴ, καὶ κράσει αἰχὴ, καὶ πλεονασμῷ τῦ μ αἰχμή. Δωρικὴ δὲ ἡ διάλυσις. 2 οἱ Δωριεῖς δὲ τὰς εἰς ων γενικὰς τὰς ἀπὸ τῶν εἰς αι εὐθειῶν γινομένας, διὰ τῦ αων προσφέρυσιν. οἷον μέλισσαι μελισσάων, μέλαιναι μελαινάων, αἰχμηταὶ αἰχμητάων.

Aliud. Ab αἰχμὴ, *cuſpis*, αἰχμῶ, αἰχμᾷς, αἰχμάσω. Ἀ'ιχμὴ, quæ a verbo ἀΐσσω fit ἰαχὴ, & per craſin αἰχὴ, & per pleonaſmum literæ μ αἰχμή. Ad Doricam autem dialectum pertinet diſſolutio. Dores item genitivos plurales in ων, deſcendentes a rectis in αι, per αων proferunt, ut μέλισσαι μελισσάων, μέλαιναι μελαινάων, αἰχμηταὶ αἰχμητάων.

Δεῦρο μαχησόμενος, ἐπεὶ ὔτι μοι αἴτιοί εἰσιν.
Οὐ γάρ πώποτ' ἐμὰς βῦς ἤλασαν, ὐδὲ μὲν ἵππυς
Οὐδέ ποτ' ἐν Φθίῃ ἐριβώλακι βωτιανείρῃ
Καρπὸν ἐδηλήσαντ', ἐπειὴ μάλα πολλὰ μεταξὺ
Οὔρεά τε σκιόεντα, θάλασσά τε ἠχήεσσα.
Ἀλλὰ σοὶ, ὦ μέγ' ἀναιδὲς, ἅμ' ἑσπόμεθ', ὄφρα σὺ χαίρῃς.

Huc pugnaturus (quippe qui culpa in me carent)
Non enim unquam meas boves abegerunt, neque eques,
Neque unquam in Phthia fertili, alma
Fruges populati ſunt: plurimi ſiquidem interjacent
Monteſque opaci, mareque ſonorum.
Sed te, o impudentiſſime, una ſecuti ſumus, ut tu gauderes,

ρμή. Οὔτί μοι αἴτιοί εἰσι) Ἅμα μὲν δηλοῖ ὅτι ὐκ οἰκείαν πρόφασιν τῆς ϛρα-

148. Duo ſimul oſtendit; unum quod juſtam ac rationabilem cauſſam ex-

τὸ κέρδυς, ἢ ἀπὸ τῦ κέαρ ἰαίνειν. Rectius, ut mihi videtur, in Codice noſtro.

1. Φασὶ μὲν περὶ τῦ πλῦ λέγειν, ἐγὼ δὲ λόχον) Idem ſentit Suidas, qui ſententiam ſuam confirmat auctoritate Demoſthenis, qui in Orat. contra Ariſtocratem habet: ἐν ὁδῷ καθελών, quod idem ſonat, inquit laudatus Suidas, ac ἐν ἐνέδρᾳ, *in inſidiis*.

2. Οἱ Δωριεῖς δὲ κ.τ.λ.) Joannes Grammaticus, & Corinthus de dialectis tradunt eam re-

Digitized by Google

ϛρατιᾶς ἔχει. ἄλλως γὰρ ἂν προβάσης αἰτίας εὐλόγυ ἐϛράτευσεν, ἢ διὰ βῦς ἐλαθείσας, ἢ διὰ δῃυμένην γῆν.

expeditionis contra Trojanos non habet; alterum quod alias ſi haberet, exercitum in Trojam duceret, vel propter boves abactas, vel terram devaſtatam.

ρμθʹ. Ἐριβώλακι) Ἐξαίρων τὴν χάριν, ἐπαινεῖ τὴν πατρίδα.

149. Extollens gratiam laudat patriam.

ρνʹ. Ἐπειὴ) Καθόλυ ὁ βεβαιωτικὸς περισπᾶται.

150. Generaliter particula confirmativa circumflectitur.

ρναʹ. Οὔρεά τε σκιόεντα) Ποία ἡ ἐκφώνησις τῶν ἐξ ὀρῶν, καὶ γῆς, καὶ θαλάττης διαϛημάτων. Διὰ δὲ τῶν ἐπιθέτων, τῶν μὲν ὀρέων τὸ ὕψος, τῆς δὲ θαλάττης ἐδήλωσε τὴν τραχύτητα.

151. Qualis & quanta enunciatio ex intervallis montium, terræ, & maris! Per epitheta vero montium altitudinem, & maris aſperitatem denotat.

ρνβʹ. Ὦ μέγ' ἀναιδὲς) Μεταξὺ τῆς δικαιολογίας ἐντίθησι τὸ ἄτιμον, τῦ θυμῦ τὰς βλασφημίας προσφωνῦντος.

152. Interea dum cauſſam ſuam defendit (& juſte conqueritur) probroſa in Agamemnonem verba jactat, ira convicia ſuppeditante.

Τιμὴν ἀρνύμενοι Μενελάῳ σοί τε κυνῶπα,
Πρὸς Τρώων, τῶν ὔτι μετατρέπῃ, ὐδ' ἀλεγίζεις.
Καὶ δή μοι γέρας αὐτὸς ἀφαιρήσεσθαι ἀπειλεῖς,
Ὧ ἔπι πόλλ' ἐμόγησα, δόσαν δέ μοι υἷες Ἀχαιῶν.
Οὐ μὲν σοί ποτε ἶσον ἔχω γέρας, ὁππότ' Ἀχαιοὶ
Τρώων ἐκπέρσωσ' εὖ ναιόμενον πτολίεθρον.
Ἀλλὰ τὸ μὲν πλεῖον πολυάϊκος πολέμοιο
Χεῖρες ἐμαὶ διέπυσ'. ἀτὰρ ἤν ποτε δασμὸς ἵκηται,

Ulturi Menelai tuique gratia, o caninum os,
Trojanos, quos neque revereris, neque curas:
Te vero mihi præmium ablaturum minaris,
Cujus cauſſa multum laboravi, dederuntque mihi Achivi.
Non equidem tibi unquam æquale habiturus ſum præmium, quando Achivi
Trojanorum exciderint celeberrimam urbem.
At majorem partem impetuoſi belli
Manus meæ gubernant: ſed ſi quando diviſio contigerit,

ρνγʹ. Τιμὴν) Τὴν παρὰ τῶν Τρώων ἐκδίκησιν ἀπαιτῦντες Μενελάῳ. λεληθότως δέ φησιν ὅτι ταῦτα πάσχομεν οἱ διὰ σὲ, Μενελάε, ϛρατεύσαντες.

153. Pœnas a Trojanis repetentes Menelao. Tacite autem ita loquitur, hæc tui cauſſa nos patimur, Menelae, qui propter te in Trojam exercitum duximus.

ρνδʹ. Ἀρνύμενοι Μενελάῳ) Ἐκ τῦ ἀρνὸς, καὶ τῦ ὑμὴν τὸ δέρμα. [1] οἱ γὰρ ἀρ-

154. Ab ἀρνὸς, & ὑμὴν quod idem ſonat ac pellis; Veteres enim per agni pel-

gulam ad Æolicam dialectum pertinere; Dores autem genitivos plurales a rectis in αι per αν proferre μυσᾶν, νυμφᾶν, non per αων, ut Scholiaſta noſter docet.

1. Οἱ γὰρ ἀρχαῖοι κ. τ. λ.) Aliter Etymologus. ἀπὸ τῦ ἀρνὸς, ἐπειδὴ διὰ τῶν ἀρνῶν, καὶ τῶν ἄλλων ζώων τὰς ἀμοιβὰς ἐποιῦντο οἱ ἀρχαῖοι.

ἀρχαῖοι τὰ συναλλάγματα διὰ δερμάτων ἀρνῶν ἐποιοῦντο. καταχρηστικῶς οὖν ἐνταῦθα.

ρνε'. Τῶν οὔτι μεταβρέπῃ) Τῶν [1] ἀκολυθησάντων, ἢ τῶν προπεπονημένων, ἢ τῶν Τρώων, ὧν αὐτὸς ἀμελήσας περὶ παλλακιδίυ διαλέγῃ.

ρνϛ'. Ἀφαιρήσεσθαι) Οἱ ἄλλοι δικαίως ἐδωρήσαντο, ἔκαμον γὰρ, σὺ ἀπειλεῖς ἀφαιρήσεσθαι.

ρνζ'. Ἔχω γέρας) Ἀντὶ τῦ ἔχομεν. ἐναργῦς δὲ ἀπαγγελίας τὰ γεγονότα ὡς γιγνόμενα ἀπαγγέλλειν.

ρνη'. Τὸ μὲν πλεῖον πολυάϊκος πολέμοιο χεῖρες ἐμαὶ διέπυσι) Τὰ ἑαυτῦ ἀνδραγαθήματα ἐπὶ τῶν ἀκυόντων εἰσφέρει, ὑποθωπεύων τὺς παρόντας, ἐπεὶ καὶ ἱστάμενος, καὶ δικαιολογύμενος ἦν. πρὸς δὲ τὺς πρέσβεις διαλεγόμενος ἀποτομώτερον φέρεται, καὶ φησὶ, [2] δώδεκα δὴ σὺν νηυσὶ πόλεις. ἐξ ἐπιδρομῆς δὲ τῶν ἰδίων κατορθωμάτων μνηθεὶς, εὔνοιαν ὐκ ἀπέχθειαν παρὰ τῶν ἀκυόντων ἠγάγετο. ἄκρα δὲ Ἀγαμέμνονος πλεονεξία, ὃς ἐν τῷ δασμῷ τὸ δίκαιον ὑπερβαίνων, ὐδὲ τύτῳ ἀρκεῖται.

ρνθ'. Ἔχων) Κτώμενος ἢ φέρων.

ρξ'. Πολυάϊκος) [3] Ἐκ τῦ πολὺ, καὶ τὸ ἀΐσσω, ἀΐξω, ἀῒξ, ἄϊκος.

ρξα'. Σοὶ τὸ γέρας πολὺ μεῖζον) Ὡς ὐκ ἀεὶ αὐτῦ διανέμοντος, ἀλλὰ πάντα πολλάκις σφετεριζομένυ.

Σοὶ

pelles commutationes faciebant. Abuſive itaque hoc loco ſumitur.

155. Nos videlicet qui comitati ſumus te, vel qui laboribus ſuſceptis defatigati ſumus; vel Trojanos, quibus ipſe neglectis de puella diſputas.

156. Quod alii juſtis de cauſſis (ſiquidem laboravi) mihi dederunt, illud tu mihi ablaturum minaris.

157. Pro ἔχομεν; perſpicuæ autem narrationis eſt ea quæ facta ſunt perinde ac ſi modo fierent referre.

158. Sua præclara facinora in medium affert, ex quo auditoribus blanditur (eorumque benevolentiam ſibi conciliat) quandoquidem coram eis adſtantibus cauſſam ſuam defendebat. Cum legatis autem differens acrius invehitur, & ait: *duodecim cum navibus urbes*. Ex eo autem quod obiter ſua præclare geſta meminerit, ab auditoribus benevolentiam non odium reportavit. Summa vero eſt Agamemnonis aviditas quippe qui, quum in diviſione plus quam jus patitur ſibi aſſumat, ne hoc quidem contentus ſit.

159. Acquirens, vel ferens.

160. A πολὺ, *multum*, & ἀΐσσω, *inſurgo*, cujus fut. ἀΐξω, ex quo ἀῒξ, ἄϊκος.

161. Redarguitur perinde ac ſi non æqualiter prædam ſemper divideret, ſed omnia ſæpe ſibi aſſumeret.

Tibi

1. Τῶν ἀκολυθησάντων, ἢ τῶν προπεπονημένων) Congruit cum his interpretatio apud Barneſium. ὧν, εὐεργεσιῶν δηλαδὴ, ὐδὲν φροντίζεις.
2. Δώδεκα δὲ σὺν νηυσὶ) Iliad. IX. v. 328. Δώδεκα δὲ σὺν νηυσὶ πόλεις ἀλάπαξ' ἀνθρώπων.
3. Ἐκ τῦ πολὺ, καὶ τὸ ἀΐσσω) Etymologus; ἀπὸ τῦ ἀΐσσω, ἀΐξω, γίνεται πολυάϊξ.

Digitized by Google

Σοὶ τὸ γέρας πολὺ μεῖζον, ἐγὼ δ' ὀλίγον τε φίλον τε
Ἔρχομ' ἔχων ἐπὶ νῆας, ἐπήν κεκάμω πολεμίζων.

Νῦν δ' εἶμι Φθίηνδ'. ἐπειὴ πολὺ φέρτερόν ἐστιν
Οἴκαδ' ἴμεν σὺν νηυσὶ κορωνίσιν. οὐδέ σ' ὀΐω
Ἐνθάδ' ἄτιμος ἐὼν, ἄφενος καὶ πλοῦτον ἀφύξειν.

Τὸν δ' ἠμείβετ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
Φεῦγε μάλ', εἴ τοι θυμὸς ἐπέσσυται, οὐδέ σ' ἔγωγε
Λίσσομαι εἵνεκ' ἐμεῖο μένειν, πάρ' ἔμοιγε καὶ ἄλλοι

Tibi præmium erit multo majus; ego parvum què dilectumque
Habens veniam ad naves, poſtquam defeſſus ero pugnando.
Quare abibo in Phthiam: quoniam multo ſatius eſt
Domum ire cum navibus nigris: neque te puto,
Hic inhonoratus quum ſis, divitias & opes exhauſturum.
Huic autem reſpondit poſtea rex virorum Agamemnon,
Fugias ſane, ſi tibi animus eſt: neque te ego
Rogo gratia mei manere: apud me & alii erunt,

ρξβ'. Ὀλίγον τε φίλον τε) Διὰ τὸ ἐξ ἰδίων εἶναι κατορθωμάτων. αὕτη γὰρ ἡ κτῆσις εὐφραίνει, ἡ δὲ ἐναντία ἐλέγχει. [1] ἐλεύθερον δὲ τὸ μὴ διὰ χρήματα, ἀλλὰ δι' ἀρετὴν πονεῖν.

162. Quia ex ſuis præclare geſtis partum erat; hujuſmodi enim bonorum acquiſitio oblectat animum, contraria torquet. Liberale porro eſt non propter opes, ſed propter virtutem labores perferre.

ρξγ'. Ἐπὴν κεκάμω) Ἡρωδιανὸς μὲν καὶ Ἀρίσταρχος [2] ἐπεί κε γράφουσιν. Οἱ δὲ γράφοντες ἐπὴν, τὸ κεκάμω ὑφ' ἓν ἀναγινώσκουσιν, ὡς τὸ λελάχωσι, καὶ πεπύθωνται, ὅπερ καὶ ἄμεινον. εἰσὶ δὲ πολλάκις καὶ ἄμφω σύνδεσμοι, ὡς τὸ, ἄς οὐδ' ἄν κεν

163. Herodianus & Ariſtarchus ſcribunt ἐπεί κε: qui vero ἐπὴν legunt, illud κεκάμω conjunctim efferunt; cujuſmodi ſunt illa λελάχωσι, & πεπύθωνται, quod & melius eſt. Sæpe etiam utræque conjunctiones ſimul unitæ reperiuntur, ut ibi, ἄς οὐδ' ἄν κεν.

ρξδ'. Ἄφενος καὶ πλοῦτον) Πικρῶς φησὶ σκοπὸν συναγωγῆς χρημάτων αὐτῷ τὸν πόλεμον ἐξευρεῖν.

164. Acriter eum perſtringit dum dicit bellum ad eum finem adinveniſſe, ut opes compararet.

ρξε'. Φεῦγε), Τὴν ὑποχώρησιν φυγὴν ὀνομάζει, καταισχύνων αὐτόν.

165. Diſceſſum fugam denominat, eum pudore ſuffundens.

ρξς'. Εἴ τοι θυμὸς) [3] Παρὰ τῷ ποιητῇ σημαίνει τὴν ὀργὴν, ὡς τὸ, θυμὸς δὲ . . . . . . ἐστὶ διοτρεφέων βασιλήων. τὴν ψυχὴν, ὡς τὸ, [4] μελιηδέα θυμὸν

166. Apud Poetam plura ſignificat, nempe iram, ut ibi, *ira vero me . . . a Jove nutritorum Regum*; animam, ut illud, *dulci anima privavit*; cupiditatem,

---

1. Ἐλεύθερον δὲ τὸ μὴ κ. τ. λ.] Huic voci ἐλεύθερον opponitur τὸ φιλοχρήματος.
2. Ἐπεί κε γράφουσι) Ergo juxta Herodianum & Ariſtarchum eo loco τὸ κε eſt conjunctio expletiva; juxta vero alios, qui legunt ἐπὴν κεκάμω, eſt ἀναδίπλωσις verbi reduplicatio, Jonibus & Æolis familiaris, ut adnotat Trypho de paſſionibus dictionum.
3. Παρὰ τῷ ποιητῇ κ. τ. λ.) Eadem habet Scholiaſtes in edit. Barneſii.
4. Μελιηδέα θυμὸν ἀπηύρα) Odyſſ. XI. v. 202. Σή τ' ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηύρα, cui conſonum eſt illud Heſiod. in Scuto, v. 428. μελίφρονα θυμὸν ἀπηύρα.

Digitized by Google

μὸν ἀπηύρα. τὴν ἐπιθυμίαν, ὡς τὸ, [1] ᾧ θυμῷ εἴξασα μίγη φιλότητι, καὶ εὐνῇ. τὸν ἐπιλογισμὸν, ὡς τὸ, [2] ἕτερος δέ με θυμὸς ἀνῆκε. καὶ τὴν ὁμόνοιαν, ὡς τὸ, [3] ἀλλ' ἕνα θυμὸν ἔχοντες νόῳ, καὶ ἐπίφρονα βουλῇ.

ρξζ'. Λίσσομαι) Ταπεινὸν γὰρ ἦν τὸ δεῖσθαι μένειν. οὐκ ἂν γὰρ ἐπένευσε δεομένου. τὸ δὲ ἔμοιγε προπαροξυτόνως, ὡς ἔγωγε.

ρξή. Παρ' ἔμοι γε καὶ ἄλλοι, οἵ κέ με τιμήσουσι) Θαρσύνει τοὺς ἄλλους, παρατιθεὶς αὐτοῖς καὶ τὸν Δία ἀντὶ Ἀχιλλέως. τῆς δὲ πρὸς τὸν Θεὸν κοινωνίας οὐχ ὑπηρέτας αὐτοὺς πεποίηκεν, εἰς δὲ τὴν ἰσόθεον εὐεργεσίαν ἐξῇρε τοὺς Ἕλληνας.

Οἵ κέ με τιμήσουσι, μάλιστα δὲ μητίετα Ζεύς.
Ἔχθιστος δέ μοί ἐσσι διοτρεφέων βασιλήων.
Αἰεὶ γάρ τοι ἔρις τε φίλη, πόλεμοί τε, μάχαι τε.
Εἰ μάλα καρτερός ἐσσι, Θεός που σοὶ τόγ' ἔδωκεν.
Οἴκαδ' ἰὼν σὺν νηυσί τε σῇς καὶ σοῖς ἑτάροισι,
Μυρμιδόνεσσιν ἄνασσε, σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω,

ρξθ'. Κέ με τιμήσουσι) Οὐχ ὁμοτιμίαν μὲν αὐτοῖς ἐνέδωκεν, οὐκ εἶπε δὲ πάλιν ὑπηρετήσουσι. προσάγεται δὲ διὰ τῶν λόγων τούτων τὸ πλῆθος.

ρο'. Μητίετα Ζεὺς) Ἡ εὐθεῖα μητιέτης γίνεται παρὰ τὸ μήδω, τὸ βουλεύομαι. ἐκ γοῦν τοῦ μῆτις γίνεται μητίτης, καὶ μητιέτης, μητιέτην, καὶ κατὰ μεταπλασμὸν μητίετα.

ροά

tem, ut ibi, *ſuæ cupiditati cedens, commixta eſt amore & concubitu*; cogitationem, ut, *alius autem me conſilium ſubiit*; denique conſenſum, ut ibi, *ſed eundem animum babentes, mente, & prudenti conſilio*.

167. Humile enim & abjectum erat rogare ut maneret; nam, etiamſi rogaſſet, ille non manſiſſet. Vox vero ἔμοιγε accentu in antepenult. profertur, ut ἔγωγε, *ego*.

168. Jubet alios ſperare & bono animo eſſe, Jovem pro Achille apponens. Minime vero eos communionis cum Jove miniſtros fecit, ſed ad æqualitatem cum Deo in beneficientia Græcos evexit.

Qui me honorabunt: & maxime providus Jupiter.
Inimiciſſimus autem mihi es regum Jovis alumnorum:
Semper enim tibi contenti oque grata, bellaque, pugnæque.
Quod ſi viribus adeo vales, profecto Deus tibi hoc dedit.
Domum reverſus cum navibuſque tuis, tuiſque commilitonibus,
Myrmidonibus impera: te autem ego nihil curo,

169. Non fecit eos in honore tribuendo pares, neque rurſus dicit, miniſtrabunt. Per hoſce vero ſermones multitudinis benevolentiam captat.

170. Caſus rectus μητιέτης fit a μῆτις, & hoc derivatur a μήδω, quod ſignificat conſulto. A μῆτις itaque fit μητίτης, & μητιέτης, μητιέτην, & per metaplaſmum μητίετα.

171.

1. Ὦ θυμῷ εἴξασα) Odyſſ. V. v. 126.
2. Ἕτερος δέ με θυμὸς] Odyſſ. IX. v. 302. Χεῖρ' ἐπιμασσάμενος, ἕτερος δέ με θυμὸς ἔρυκεν.
3. Ἀλλ' ἕνα θυμὸν ἔχοντες νόῳ, καὶ ἐπίφρονα βουλῇ] Odyſs. III. v. 128. Ἀλλ' ἕνα θυμὸν ἔχοντε

Digitized by Google

ροά. Μητίετα Ζεὺς) Τῦτο τὸ ἄγαλμα ἱσορῦσι καθήμενον, γυμνὰ ἔχον τὰ ἄνω, τὰ δὲ κάτω ἐσκεπασμένα, κρατῦν τῇ μὲν εὐωνύμῳ σκῆπτρον, τῇ δὲ δεξιᾷ προτεῖνον ἀετόν. καὶ τὸ μὲν καθῆσθαι, τὸ ἑδραῖον τῆς δυνάμεως αἰνίττεται, τὸ δὲ τὰ ἄνω γυμνὰ ἔχειν, ὅτι φανερὸς τοῖς νοεροῖς, καὶ τοῖς ὐρανίοις τῦ κόσμυ μέρεσι, τὰ δὲ λοιπὰ σκέπεται, ὅτι τοῖς χαμαιζήλοις ὁ Θεὸς ἄγνωσος. τὸ δὲ τῇ λαιᾷ σκῆπτρον κατέχειν, σημαίνει τὸ ἐξυσιασικὸν, τὸ δὲ τῇ ἑτέρᾳ προτείνειν ἀετὸν, δηλοῖ ὡς τῶν ἀεροφόρων πνευμάτων κρατεῖ, ὡς ὁ ἀετὸς τῶν μεταρσίων ὀρνίων. καὶ παροιμία, Ζεὺς κατεῖδε χρόνιος εἰς τὰς διφθέρας, ἐπὶ τῶν ποτὲ ἀμειβομένων ὑπὲρ ὧν πράττυσι καλῶν, ἢ κακῶν, ὅτι ὐκ ἀπρόνοητά φησι τὰ πάντα, ἀλλὰ τὸν Δία εἰς διφθέρας τινὰς ἀπογράφεσθαι, καὶ ποτὲ ἐπεξιέναι.

171. Memoriæ proditum eſt Jovis ſimulacrum ſedere, ſuperiores partes nudas habens, inferiores tectas, ſiniſtra ſceptrum gerens, dextera aquilam protendens. Ex eo itaque quod ſedeat ſtabilis ac firma ejus potentia deſignatur; quod ſuperiores partes nudas habeat, intellectualibus, cæleſtibuſque mundi partibus conſpicuum eſſe; quod reliquas partes tectas gerat, Deum humi defixis incognitum eſſe; quod ſiniſtra ſceptrum teneat, ſupremum dominium; quod deniq. aquilam dextra protendat, ſpiritibus qui per aerem vagantur imperare, quemadmodum aquila volatilibus cæli dominatur. Hinc proverbium illud, *Diphtheram ſero Jupiter inſpexit*, de iis, quibus pro bene vel male geſtis præmium, vel ſupplicium aliquando retribuitur. Senſus videlicet eſt Jovem omnia providentia ſua gubernare, atque in pellibus quibuſdam ea deſcribere, & oculis aliquando percurrere.

ροβ'. Διοτρεφέων βασιλήων) Οἱ βασιλεῖς ἐκ τῆς σειρᾶς τῦ Διός εἰσιν, οἱ δὲ κιθαρισαὶ, καὶ μυσικοὶ, καὶ ἀοιδοὶ ἐκ μυσῶν, καὶ Ἀπόλλωνος, [1] ὡς ὁ Ἡσίοδός φησι, ἐκ γάρ τοι μυσάων, καὶ ἑκηβόλυ Ἀπόλλωνος ἄνδρες ἀοιδοὶ ἐπὶ χθονὶ, καὶ κιθαρισαὶ, ἐκ δὲ Διὸς βασιλῆες.

172. Reges a Jove; citharœdi, Muſici, & Poetæ a Muſis, & Apolline deſcendunt, ut Heſiodus teſtatur his verbis: *a Muſis enim, & eminus feriente Apolline viri cantores, & citharœdi ſunt ſuper terram; a Jove autem Reges.*

ρογ'. Αἰεὶ γάρ τοι ἔρις τε φίλη) Τὰ πλεονεκτήματα τῦ ἀνδρὸς εἰς ὀνείδη με-

173. Prærogativas Agamemnonis vitio vertit, ut ſi quis virilem violen-

νόῳ καὶ ἐπίφροσι βυλῇ.

1. Ὡς ὁ Ἡσίοδός φησι. ἐκ γάρτοι) Heſiodus in Theog. v. 94. & ſeq. edit. Joannis Clerici.
Ἐκ γὰρ μυσάων καὶ ἑκηβόλυ Ἀπόλλωνος
Ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθόνα καὶ κιθαρισαί.
Ubi diſcrepat Codex noſter ab editis
1. Γάρτοι, qua lectione retenta illud μυσάων tanquam contractum μυσῶν proferendum.
2. Ἐπὶ χθονὶ, ex quo confirmatur conjectura doctiſſimi Gujeti qui ad laudatum Heſio-

Digitized by Google

μεθίςησιν, ὡς εἴτις τὸν ἀνδρεῖον βίαιον λέγει.

lentum appellaret.

ροδ'. Θεός πȣ σοὶ) Εὐτυχίαν ȣ̓κ ἀρετὴν ἰδίαν αὐτῷ μαρτυρεῖ. πιθανῶς ἐπὶ μὲν τȣ̃ Ἀχιλλέως [1] ἀορίςως ἔφη τὸ Θεὸς, ἐπὶ δὲ ἑαυτȣ̃ ὡρισμένως φέρει τὸν Δία.

174. Fælicitatem fortunamq. proſperam non eſſe virtutem ipſius propriam teſtatur. Optima ſane ratione ductus de Achille indefinite dixit *Deus*; de ſeipſo autem definite *Jupiter*.

ροέ. Μυρμιδόνεσσιν ἄνασσε, σέθεν δ' ἐγὼ) [2] Φασὶν Αἰγίνης τῆς Ἀσωπȣ̃ ἐραςθῆναι τὸν Δία, καί τῳ τῶν φίλων παρεικασθῆναι, καὶ εἰς Φλιȣ̃ντα διακομίσαι, καὶ εἶθ' ȣ̓́τως αὐτῇ μιγῆναι. Ἀδημȣ̃ντος δὲ τȣ̃ ἐκεῖσε βασιλεύοντος διὰ τὴν τῶν ἐνοικȣ́ντων σπάνιν, λέγȣσι τὸν Δία τȣ̀ς αὐτόθι μύρμηκας ἀνδρωθῆναι ποιῆσαι, τȣ̃ βασιλέως Αἴγιναν αἰτησαμένȣ, καὶ αὐτῆς τὸν Δία παραπεισάσης. ἔνθεν τȣ̀ς Μυρμιδόνας μυθολογȣ̃σι γενέσθαι.

175. Ferunt Jovem Aeginæ Aſopi filiæ amore captum fuiſſe, & viro cuidam adſimilatum amico eam tranſtuliſſe Phliuntem; deinde cum ea rem habuiſſe. Quum vero illius regionis dominator ob defectum incolarum populo careret, Jovem ajunt formicas, quæ illic erant, in homines convertiſſe, ſuadente Aegina, quam rex ea de re rogaverat. Hinc Myrmidonas originem traxiſſe ſuam fabulantur.

Οὐδ' ὄθομαι κοτέοντος. ἀπειλήσω δέ τοι ὧδε,
Ὥς ἔμ' ἀφαιρεῖται Χρυσηΐδα Φοῖβος Ἀπόλλων,
Τὴν μὲν ἐγὼ σὺν νηΐ τ' ἐμῇ καὶ ἐμοῖς ἑτάροισι
Πέμψω. ἐγὼ δέ κ' ἄγω Βρισηΐδα καλλιπάρῃον

Neque te iratum timeo: & ſic tibi minabor,
Quoniam a me aufert Briſeida Phœbus Apollo,
Hanc quidem ego cum navique mea, & meis commilitonibus
Dimittam: ego autem abducam Briſeida pulchram genas,

ροϛ'. Ὄθομαι) [3] Παρὰ τὸ Θέω, καὶ ἐν

176. A *θέω curro* per tranſpoſitionem

di locum mavult legere ἐπὶ χθονὶ, quam quod habent editiones ἐπὶ χθόνα.

1. Ἀορίςως ἔφη τὸ Θεὸς) Paſſim ſingulari numero Θεὸς Homerus utitur, ut hoc loco, & Iliad. ί. ȣ̓δ' εἴ κέν μοι ὑποςαίη Θεὸς αὐτὸς, ex quibus unum Deum vere exiſtentem ab Homero ſignificari Juſtinus martyr, aliique ſanctiſſimi viri contra Gentes docuerunt.

2. Φασὶν Αἰγίνης] In referenda Myrmidonum fabula diſcrepant ab Interprete noſtro Euſtathius & Scholiaſtes in edit. Barneſii; Euſtathius enim neque amorem Jovis erga Æginam, neque puellæ raptum memorat, ſed tantum narrat Æacum obtinuiſſe Æginam inſulam, eumque, quum pauciſſimos ſubditos haberet, hac de cauſſa ſupplicaſſe patri ſuo Jovi, a quo quæ illic erant formicæ in homines converſæ fuerunt. Scholiaſtes autem apud Barneſium tradit Jovem Æginam rapuiſſe, eamque tranſtuliſſe Phliuntem, quumque indicante omnia Siſypho Aſopus eo ſe conferret, ut filiam recuperaret, Jovem ſemetipſum in lapidem, & Æginam in ejuſdem nominis inſulam convertiſſe. Quum vero Æacus ſolus in ea regione degeret, Jupiter miſertus, formicas, quæ illic erant, in homines tranſtulit. Hæc, ut vides, non parum a Scholiaſta noſtro diſcrepant.

3. Παρὰ τὸ θέω, καὶ ἐν ὑπερβιβασμῷ ἔθω, καὶ τροπῇ τȣ̃ ε εἰς ο ὄθω, ἐξ ȣ̃ ὀθῶν] Hæc apud Etymologum deſiderantur.

Digitized by Google

ἐν ὑπερβιβασμῷ ἔθω, καὶ τροπῇ τοῦ ε εἰς ο ὄθω, ἐξ οὗ ὀθόνη. ἐκ τοῦ ὄθω ὁ μέλλων ὄσω.

ροζ΄. Ἀφαιρεῖται Χρυσηΐδα Φοῖβος) Πιθανῶς οὐχ ὑπὸ τῶν Ἑλλήνων ἀφαιρεῖσθαί φησι τὸ γέρας, ἵνα μὴ ὡς μισῶν αὐτοὺς φωραθῇ διότι ἀποδίδωσιν, οὔτε ὑπὸ Ἀχιλλέως, ἵνα μὴ οἱ Ἕλληνες Ἀχιλλεῖ χάριν ἔχωσιν. Ἀλλ᾽ ὑπὸ τοῦ Θεοῦ ἀφῃρῆσθαί φησι, ὡς οὐκ ἀνθρώπων ἥττων, ἀλλὰ Θεοῦ γενόμενος. οὗ δὲ καὶ τὸ καθ᾽ ἑαυτὸν ηὔξησεν, εἰς τοσοῦτον Ἀχιλλέως προὔχων, ὁπόσον τοῦ Θεοῦ ἀπολείπεται.

ροη΄. Σὺν νηΐτ᾽ ἐμῇ) Ἵνα μὴ δοκῇ ἐξ ἀνάγκης αὐτὴν ἀποπέμπειν, ὡς οὐ γνωρίζοντος τοῦ Θεοῦ τὸ αἴτιον τῆς ἀποστολῆς. Οὗτος δὲ ὁ λόγος ἤδη ἀποτέθειται τῶν φίλων τὸν Ἀχιλλέα.

ροθ΄. Καλλιπάρῃον) Γίνεται ἐκ τοῦ κάλλος, καὶ τοῦ παρειὰ, τοῦτο παρὰ τὸ ἐπαίρω, τὸ ἀνεσταλμένον μέρος τοῦ σώματος. τὰ δὲ παρὰ τὸ κάλλος ἐν συνθέσει διὰ τοῦ ι γράφεται. οἱ δὲ Αἰολεῖς τὴν ει δίφθογγον εἰς η τρέπουσι, καὶ οἱ Δωριεῖς τὸ ε εἰς η.

Αὐτὸς ἰὼν κλισίηνδε, τὸ σὸν γέρας. ὄφρ᾽ εὖ εἰδῇς
Ὅσσον φέρτερός εἰμι σέθεν, στυγέῃ δὲ καὶ ἄλλος
Ἶσον ἐμοὶ φάσθαι, καὶ ὁμοιωθήμεναι ἄντην.
Ὣς φάτο. Πηλείωνι δ᾽ ἄχος γένετ᾽, ἐν δέ οἱ ἦτορ
Στήθεσσιν λασίοισι διάνδιχα μερμήριξεν,
Ἢ ὅγε φάσγανον ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,

ρπ΄. Αὐτὸς ἰὼν κλισίηνδε) Ἐπειδὴ τὸ ἐγὼ ἠδύνατο καὶ διὰ θεραπόντων νοεῖσθαι. Ὁμοία δέ ἐστιν ἡ ἀπειλὴ τῇ, τὴν δ᾽ ἐγὼ οὐ λύσω.

ρπά.

nem fit ἔθω, & verſo epſilon in omicron fit ὄθω, ex quo manat ὀθόνη. Ab ὄθω futurum ὄσω.

177. Appoſite non a Græcis præmium auferri dicit, ne eos quodammodo odio habere deprehenderetur, dum puellam redderet, neque ab Achille, ne Græci Achilli gratiam haberent; ſed a Deo illud adimi adſerit, tanquam ipſe non hominibus ſed Deo inferior eſſet. Magnopere autem ſemetipſum extollit, tantum ſupetans Achillem, quantum ipſe a Deo ſuperatur.

178. Ne videretur neceſſitate compulſus eam remittere, quaſi Deus ignoraturus eſſet cauſſam, cur puella remitteretur. Jam vero hic ſermo ex amicorum numero Achillem rejicit.

179. Fit a κάλλος, & παρειὰ, & hoc deſcendit ab ἐπαίρω, ut ſignificet ea vox elatam corporis partem. Quæ porro a voce κάλλος deſcendunt in compoſitione cum jota ſcribuntur. Aeoles autem diphthongum ει in η vertunt, & Dores ε in η.

Ipſe veniens ad tentorium, tuum præmium ut bene intelligas
Quanto potentior ſim te, timeatque itidem alius
Æqualem ſe mihi dicere, & comparari contra.
Sic dixit. Pelidæ autem dolor exarſit, animuſque ejus
In pectoribus hirſutis biſariam cogitavit,
Utrum ipſe gladio acuto ſtricto a femore,

180. Quandoquidem illud ἐγὼ etiam per famulos intelligi poterat. Hæc autem comminatio ſimilis eſt ei, *banc ego non ſolvam.*

Digitized by Google

ρπά. Ἴσον ἐμοὶ φάσθαι) Ἀναιρεῖ τὴν ἐν ταῖς ἐκκλησίαις ἰσηγορίαν. Διὸ καὶ οἱ Ἀχαιοὶ φεύγουσιν, οὐ δυνάμενοι δικαιολογεῖσθαι αὐτῷ. Ὁ δὲ Διομήδης ἡ θέμις ἐστὶν ἄναξ ἀγορῇ φησιν.

ρπβ΄. Ἐν δέ οἱ ἦτορ) Παρὰ τὸ ἀήτης ὁ ἄνεμος, τοῦτο ἐκ τοῦ ἄω, τὸ πνέω, ἄητορ, καὶ ἀφαιρέσει τοῦ α ἦτορ. πνεῦμα γάρ ἐστιν ἡ ψυχή.

ρπγ΄. Λασίοισι) Θερμοῖς. ἡ θέρμη γὰρ αἰτία τῆς ἐκφύσεως τῶν τριχῶν.

Ἄλλο. 1 Γίνεται ἐκ τοῦ λα ἐπιτατικοῦ μορίου, καὶ τοῦ σεύω τὸ ὁρμῶ. 2 ὀρθῶς γὰρ ὁρμῶνται τὰ διὰ τοῦ νοήματος. 3 νῦν δὲ περὶ τοῦ θυμοειδοῦς μέρους τῆς ψυχῆς φησιν, ἀφ' ὧν λέγει στήθεσσι. ὑπὸ γὰρ τὰ στέρνα κεῖται ἡ καρδία, ἐν ᾗ ἐστι τὸ θερμὸν, καὶ πυρῶδες, καὶ μανικὸν τῆς ψυχῆς.

ρπδ΄. Διάνδιχα μερμήριξεν) Θέλει εἰπεῖν ὡς δύο ἐβουλεύσατο, ἀναστῆσαι ἐκείνους, καὶ ἀνελεῖν Ἀγαμέμνονα. ὅθεν περισσόν φασι τὸ, ἠὲ χόλον. Ἀλλ' οὐχ οὕτως, ἀλλὰ τὸ μὲν ἐκείνους ἀναστῆσαι, καὶ ἀνελεῖν αὐτὸν, ἓν θετέον, τὸ δὲ, ἠὲ χόλον παύσειε, δεύτερον, ὃ καὶ ἄμεινον. Ἡ γὰρ ὕβρις ἀνεζωπύρει, ἡ δὲ φρόνησις κατέστελλε. τοῦτο δὲ ὑποφαίνει διὰ τοῦ, κατὰ φρένα, καὶ κατὰ θυμόν.

181. Adimit æquam in concionibus loquendi libertatem: quapropter & Achivi recedunt, quum coram eo partes ſuas defendere nequeant. Diomedes vero ait: ἡ θέμις ἐστὶν ἄναξ ἀγορῇ.

182. Ab ἀήτης, *ventus*; hoc ab ἄω, quod ſignificat ſpiro, ἄητορ, & rejecto alpha remanet ἦτορ. ſpiritus enim eſt anima.

183. Calidis; calor enim pilorum cauſſa eſt.

Aliud. Fit ex particula intenſiva λα, & a σεύω, quod ſignificat impetu feror; recte enim impetu feruntur quæ cogitatione revolvimus. Hoc autem loco de iraſcibili animæ parte loquitur, ut perſpicuum eſt ex eo quod dicit στήθεσσι. Nam ſub ſternis jacet cor, in quo ea animæ pars eſt, quæ æſtu, ac furore percellitur.

184. Significare vult duo illum animo volviſſe, ut nempe illos in fugam verteret, & Agamemnonem interimeret: quocirca ſupervacaneum eſſe ajunt illud, *an iram ſedaret*. Sed non ita ſe res habet; nam e duobus, quæ ille volvebat animo, unum illud eſſe ſtatuendum, ut nempe illos ſubmoveret, & Agamemnonem interimeret; alterum ut ſedaret iram, quod & melius eſt. Jram enim injuria excitabat; prudentia reprimebat. Id porro leviter indicat per ea: *mente & animo*.

1. Γίνεται ἐκ τοῦ λα ἐπιτατικοῦ μορίου καὶ τοῦ σεύω) Id contra Euſtathium, qui tradit eam vocem fieri ex particula intenſiva λα, & a verbo σῶ, non autem a σεύω, ne, inquit, neceſſe ſit illud nomen per diphthongum ſcribere, ut τὸ καθάρειον ex καθαρεύω.

2. Ὀρθῶς γὰρ ὁρμῶνται τὰ διὰ τοῦ νοήματος) Etymologus: ὀρθῶς γὰρ ὁρμῶνται δι' αὐτοῦ τὰ νοήματα.

3. Νῦν δὲ περὶ τοῦ θυμοειδοῦς μέρους κ. τ. λ.) Eadem habet Scholiaſtes apud Barneſium.

ρπέ. Μερμήριξεν) Παρὰ τὸ μερίζω, τοῦτο παρὰ τὸ μέρος, τοῦτο παρὰ τὸ μείρω, μειρῶ, μειρίζω, καὶ τροπῇ τοῦ ε εἰς η ι μερμηρίζω, ἐκ τοῦ ἐπὶ τάδε καὶ τάδε μερίζεσθαι τὴν ψυχὴν τοῦ μεριμνῶντος. Ὅθεν καὶ μερμήρας τὰς φροντίδας, καὶ μερίμνας ἔνιοι λέγουσι.

ρπϛ'. Φάσγανον ὀξὺ) Οἱ μὲν ἀπὸ τοῦ φῶ τὸ φονεύω, οἱ δὲ ἀπὸ τοῦ σφάζω, σφάγανον, καὶ φάσγανον.

Τοὺς μὲν ἀναστήσειεν, ὁ δ' Ἀτρείδην ἐναρίζοι,
Ἠὲ χόλον παύσειεν, ἐρητύσειέ τε θυμόν.
Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμὸν
Ἕλκετο δ' ἐκ κολεοῖο μέγα ξίφος, ἦλθε δ' Ἀθήνη
Οὐρανόθεν. πρὸ γὰρ ἧκε Θεὰ λευκώλενος Ἥρη
Ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε, κηδομένη τε.
Στῆ δ' ὄπιθεν, ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα,
Οἴῳ φαινομένη, τῶν δ' ἄλλων οὔτις ὁρᾶτο.

ρπζ'. Ἠὲ χόλον) Τὸν μὲν πρῶτον ὀξυντέον, [2] τὸν δὲ δεύτερον περισπαστέον· διαπορητικὴ γάρ ἐστιν ἡ σύνταξις, καὶ ὅπως ἐν τῇ καθόλου.

ρπή. Ἠὲ χόλον παύσειεν) Ἐπειδὴ ὁ μὲν διακεχυμένον ἐστιν, ὡς ἐπὶ ὕδατος ῥέοντος, εἶπε παύσειεν· ὁ δὲ θυμὸς ἐπειδὴ τὸ θύον ἐστὶ, τῷ ἐρητύσειεν ἐχρήσατο.

ρπθ'. Κατὰ φρένα) Φρένα τὸν λογισμὸν, θυμὸν δὲ τὸ θυμικόν. τὸ οὖν ἀναστῆσαι ἐκείνους, ἀνελεῖν δὲ Ἀγαμέμνονα κατὰ τὸ θυμοειδὲς τῆς ψυχῆς μέρος ἐλογίζετο· τὸ δὲ,

ἠὲ

185. A μερίζω, hoc a μέρος, hoc a μείρω, μειρῶ, μειρίζω, & verſo epſilon in eta fit μερμηρίζω, ex eo, quod in has & illas partes anima ejus, qui ſollicitus eſt dividatur. Ex quo nonnulli ſollicitudines appellant μερμήρας & μερίμνας.

186. Quidam eam vocem deducunt a φῶ, quod ſignificat interficio, alii a σφάζω, ex quo σφάγανον, & per metatheſin φάσγανον.

Hos quidem dimoveret, & Atridem interficeret;
An iram ſedaret, compeſceretque furorem.
Dum ille hæc agitabat mente & animo,
Educebatque e vagina magnum enſem: tum venit Pallas
Cœlitus, præmiſerat enim Dea ulnis candida Juno,
Ambos ſimul ex animo amanſque, curanſque.
Et ſtetit a tergo, & flava coma prehendit Pelidem,
Soli apparens, aliorum vero nullus videbat.

187. Prior particula acuenda eſt; poſterior circumflectenda; addubitativa enim eſt ſyntaxis. Et ſic ſe res habet in univerſum.

188. Quandoquidem χόλος eſt quod dilabitur atque diffluit, inſtar aquæ fluentis, dixit παύσειεν, quoniam vero θυμὸς eſt quod æſtu fervet, propterea ea voce ἐρητύσειεν utitur.

189. Ea vox φρένα rationalem animæ partem; θυμὸς vero iraſcibilem denotat. Illud igitur ut eos in fugam verteret, & Agamemnonem interimeret ſecundum iraſcibilem par-

 tem

1. Μερμηρίζω, ἐκ τοῦ ἐπὶ τάδε καὶ τάδε μερίζεσθαι τὴν ψυχὴν) Hinc confirmatur quod tradit doctiſſimus Sylvius. μερμηρίζω quaſi μέρος καὶ μέρος, id eſt, *partim & partim animum divido.*

2. Τὸν δὲ δεύτερον περισπαστέον) Scholiaſtes ergo legit hoc modo: ἢ χόλον, non ἠὲ, ut hodiernæ editiones habent.

ἢ χόλον παύσειε, κατὰ τὴν φρένα.

ρϟ'. Ἕλκετο δ' ἐκ κολεοῖο μέγα ξίφος. ἦλθε δ' Ἀθήνη) Ἡ παράτασις τοῦ χρόνου τὴν ἀπὸ τῶν ἐπιλογισμῶν ἔνστασιν δηλοῖ, τὸ δὲ μέγα καιρὸν δίδωσι καθόδου τῇ Ἀθηνᾷ. τὸ δὲ ἕως νῦν ἀντὶ τοῦ πῶς, ὡς τὸ, εἵως μὲν ρ' ἐπέτοντο· ἐπεὶ ποῦ ἡ ἀνταπόδοσις τοῦ ἕως; ἢ γοῦν τῷ ἕλκετο χρὴ δοτέον τὸν καί. διδάσκει δὲ ὁ ποιητὴς μὴ ὑπερχρῆσθαι ταῖς ἐξουσίαις τοὺς βασιλεῖς.

ρϟα'. Κολεοῖο μέγα ξίφος) 1 Ἐκ τοῦ κοῖλον τὸ βαθὺ, τοῦτο ἐκ τοῦ κῶ, τὸ κεῖμαι. παρὰ τὸ κεῖσθαι ὅλον κοιλεὸς, καὶ ἀφαιρέσει τοῦ ο, ἢ τροπῇ τοῦ ι εἰς υ κουλεὸς, καὶ κολεός.

ρϟβ'. Ξίφος) Παρὰ τὸ ὀξύνεσθαι πρὸς φόνον. γίνεται ἐκ τοῦ ξύω, ξύσω, ξύφος, καὶ ξίφος.

ρϟγ'. Ἦλθε δ' Ἀθήνη οὐρανόθεν. πρὸ γὰρ ἧκε Θεὰ λευκώλενος) Διατί φήσας πάντας τοὺς Θεοὺς εἰς Αἰθιοπίαν ἀπεληλυθέναι, Θεοὶ δ' ἅμα πάντες ἕποντο, τὴν Ἀθηνᾶν ἐκ τοῦ οὐρανοῦ φησιν ἐλθεῖν, παρὰ τῆς Ἥρας πρὸς τὸν Ἀχιλλέα; μήποτε δὲ συλληπτικῶς εἴρηται ἀπὸ τοῦ πλείστου τὸ πᾶν· ὥσπερ γὰρ ἐπὶ τῶν ἡγεμόνων τῶν Ἀχαιῶν εἰπὼν ὅτι πάντες ἐκάθευδον, 2 ἄλλοι μὲν παρὰ νηυσὶν ἀριστῆες παναχαιῶν εὗδον παννύχιοι, ὅμως ποιεῖ τὸν Ἀγαμέμνονα ἐγρηγορότα, καὶ τὸν Μενέλεων, οὐδὲ γὰρ αὐτῷ ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν,

tem cogitabat; alterum autem ut ſedaret iram, ſecundum rationalem, hoc eſt mentem.

190. Productio temporis oſtendit moram, quæ a cogitationibus proficiſcebatur, & epitheton μέγα dat Minervæ tempus cælitus deſcendendi. Vox vero ἕως hoc loco pro πῶς ſumitur, ut ibi, εἵως μὲν ρ' ἐπέτοντο, alias enim ubi nam eſt vocis ἕως apodoſis? Vel igitur verbo ἕλκετο apponendum eſt καί. Docet porro Poeta Reges ne ſuis potentiis abutantur.

191. A κοῖλον, quod ſignificat profundum, cavum. Hoc deſcendit a κῶ, quod ſignificat jaceo; ex eo, quod totus jaceat, dicitur κοιλεὸς, & abjecto omicron, vel jota in ipſilon verſo, fit κουλεὸς, & κολεός.

192. Ex eo quod ad cædem acuatur. Fit a ξύω, cujus fut. ξύσω, ξύφος, & ξίφος.

193. Quare quum dixiſſet Deos omnes Aethiopiam una cum Jove profectos fuiſſe, *Dii vero omnes ſecuti ſunt*, Minervam cælitus a Junone ad Achillem miſſam fingit? Fortaſſe a majori parte totum dixit; quemadmodum enim de ducibus Achivorum quum eos dormire omnes dixiſſet, *alii quidem apud naves optimates Achivorum dormiebant per totam noctem*; Agamemnonem tamen, & Menelaum vigilantes inducit, *neque enim in ejus palpebras ſomnus incidit*; ſic a majori parte omnes Jovem comitatos fuiſſe

1. Ἐκ τοῦ κοῖλον τὸ βαθύ. τοῦτο κ. τ. λ.) Hæc, & quæ ſequuntur apud Etymologum non reperies.

2. Ἄλλοι μὲν παρὰ νηυσὶ) Iliad. X. ver. 1. & ſeq. Ἄλλοι μὲν παρὰ νηυσὶν ἀριστῆες παναχαιῶν

Digitized by Google

πτεν, ὅπως ἐκ τοῦ πλείστου τὸ πάντας ἠκολουθηκέναι τοὺς Θεοὺς τῷ Διὶ εἴρηκεν. Οὐ γὰρ δὴ Θεῶν ἔρημος ἔμελλε καταλείπεσθαι ὁ οὐρανός. [1] ἐκ τοῦ οὐρανοῦ δέ φησι παρεγένετο Ἀθηνᾶ, ὅ ἐστιν ἡ φρόνησις. δεῖ γὰρ ὅπως αὐτὴν καταβαίνειν, οἷα καὶ τῆς κόμης αὐτὸν κρατεῖν, καὶ οὐκ ἄλλου μέρους τοῦ σώματος, ἀλλ' ἔνθα ἵδρυται τὸ λογικὸν τῆς ψυχῆς μέρος. [2] εὐλόγως δὲ καὶ οἱ μυθογράφοι φασὶν ὅτι ἔγκυος οὖσα ἡ μῆτις τὴν Ἀθηνᾶν, κατεπόθη ὑπὸ τοῦ Διὸς, καὶ ἀπὸ τῆς κεφαλῆς αὐτοῦ ἐν τῷ ὡρισμένῳ τῆς ἀποκυήσεως χρόνῳ ἐξέθορεν ἡ Θεὸς σὺν ὅπλοις.

ρϟδ'. Κηδομένη περ) Τοῦ μὲν ἵνα μή τι πάθῃ δεινὸν, τοῦ δὲ ἵνα μή τι δράσῃ. εἴωθε δὲ εἰς τοσοῦτον αὔξειν τὰς περιπετείας, ὡς μὴ δύνασθαι παύειν ἄνθρωπον.

ρϟε'. Οἴῳ φαινομένη) Τοὺς γὰρ μεγαλοψύχους ὀργιζομένους οὐ παύειν δεῖ προφανῶς, ἐχθρῶν ὁρώντων. τὸ δὲ φαινομένη, ἀντὶ τοῦ φανησομένη. [3] γράφεται δὲ καὶ φαινομένην.

ρϟϛ'. Οὔτις ὁρᾶτο) [4] Ζηνόδοτος ἀγνοήσας τὸ τῆς διαλέκτου ἰδίωμα ὡς ἰωνικὸν ἐξέθε-

fuiſſe dixit; neque enim ſine Diis Cælum relinquendum erat: cælitus autem miſſa, inquit, adſtitit Minerva, hoc eſt prudentia. Sic enim oportet eam deſcendere, ut Achillis comam prehendat, non equidem aliam corporis partem, ſed eam, in qua rationalis animæ pars reſidet. Recte autem fabularum ſcriptores tradunt Metidem, quum prægnas alvo Minervam contineret, ab Jove hauſtam fuiſſe, & conſtituto prægnantibus tempore ex Jovis capite armatam Deam proſiluiſſe.

194. Partim quidem ne quidpiam mali pateretur, partim vero ne aliis ipſe inferret. Conſuevit autem fortunæ vices adeo augere, ut vis humana eas ſedare nequeat.

195. Non enim oportet viros magnanimos ira perculſos palam, cernentibus hoſtibus, ſedare. Sumitur autem vox *φαινομένη* pro fut. *φανησομένη*: ſcribitur etiam acuſ. *φαινομένην*.

196. Zenodotus dialecti proprietatem ignorans eam vocem uti Jonicam ex-

χαιῶν

Εὗδον παννύχιοι, μαλακῷ δεδμημένοι ὕπνῳ.
Ἀλλ' οὐκ Ἀτρείδην Ἀγαμέμνονα ποιμένα λαῶν
Ὕπνος ἔχε γλυκερὸς, πολλὰ φρεσὶν ὁρμαίνοντα,

Et ver. 25.

Ὣς δ' αὔτως Μενέλαον ἔχε τρόμος. οὐδὲ γὰρ αὐτῷ
Ὕπνος ἐπὶ βλεφάροισιν ἐφίζανε, μή τι πάθοιεν.

1. Ἐκ τοῦ οὐρανοῦ δέ φησι παρεγένετο κ. τ. λ.] Eadem omnino apud Barneſium reperiuntur.

2. Εὐλόγως δὲ κ. οἱ μυθογράφοι φασὶν ὅτι κ. τ. λ.] Eleganter Heſiodus hanc fabulam deſcribit Theog. v. 886.

Ζεὺς δὲ θεῶν βασιλεὺς πρώτην ἄλοχον θέτο Μῆτιν,
Πλεῖστα θεῶν εἰδυῖαν ἰδὲ θνητῶν ἀνθρώπων.
Ἀλλ' ὅτε δὴ ῥ' ἤμελλε θεὰν γλαυκῶπιν Ἀθήνην
Τέξεσθαι, τότ' ἔπειτα δόλῳ φρένας ἐξαπατήσας
Αἱμυλίοισι λόγοισιν ἑὴν ἐγκάτθετο νηδύν.

3. Γράφεται δὲ καὶ φαινομένην Si ſic ſcribatur, deme ſubſequens comma, & conſtrue hoc modo. τῶν δ' ἄλλων οὔτις ὁρᾶτο οἴῳ φαινομένην (αὐτήν)

4. Ζηνόδοτος κ. τ. λ.] Duo hinc colliguntur, Zenodotum ſcilicet & anonymum Scholia-

Digitized by Google

θετο. ἔστι δὲ δώριον. οἱ γὰρ Δωριεῖς τῆς δευτέρας τῶν περισπωμένων τὸ α εἰς η τρέπουσι.

Θάμβησεν δ' Ἀχιλλεύς, μετὰ δ' ἐτράπετ' αὐτίκα δ' ἔγνω
Παλλάδ' Ἀθηναίην. δεινὼ δέ οἱ ὄσσε φάανθεν.

Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα,

Τίπτ' αὖτ' αἰγιόχοιο Διὸς τέκος εἰλήλουθας;
Ἦ ἵνα ὕβριν ἴδῃ Ἀγαμέμνονος Ἀτρείδαο;

Ἀλλ' ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελέσθαι ὀΐω,
Ἧς ὑπεροπλίῃσι τάχ' ἄν ποτε θυμὸν ὀλέσσῃ.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη.

ρϞζ'. Αὐτίκα δ' ἔγνω) Ἔγνω, εἶδεν, ἢ ὅτι συνήθης αὐτῇ ἡ θέα τοῖς ἐπικουρουμένοις Ἕλλησιν, ἢ ὅτι τοῖς διογενέσι δηλοῦνται οἱ Θεοὶ, ὡς τῇ Ἑλένῃ. καὶ Αἰνείας Ἀπόλλωνα ἔγνω εἰσάντα ἰδών. 1 Παλλὰς δὲ παρὰ τὰς παλάμας, ἢ ὅτι εὐκίνητος νοῦς, ὡσεὶ πτερὸν ἢ νόημα.

ρϞη'. Παλλάδα Ἀθηναίην) Ἐπιθετικῶς τὴν Ἀθηνᾶν, ἤτοι ἀπὸ τοῦ πάλλειν, καὶ κραδαίνειν τὸ δόρυ. πολεμικὴ γὰρ ἡ Θεὸς, ἢ ὅτι ἕνα τῶν γιγάντων Πάλλαντα ἀπέκτεινεν, ἢ ἀπὸ ἀναπαλθῆναι αὐτὴν ἐν τῇ κεφαλῇ τοῦ Διὸς, ἢ ἀπὸ τοῦ παλλομένην τὴν καρδίαν τοῦ Διονύσου προκομίσαι τῷ Διΐ.

ρϞθ'.

exposuit, quum Dorica ſit. Dorienſes enim alpha ſecundæ conjugationis circumflexorum in eta vertunt.

Omnes eſſe in ſua poteſtate vult, omnibus & dominari,
Omnibus & præcipere, quæ non perſuaſurum puto.
Quod ſi ipſum bellatorem fecerunt Dii immortales,
An propterea ei dicere contumelias fas eſt?
Huic autem interpellato ſermone reſpondit divinus Achilles,
Certe timiduſque & nullius pretii vocari deberem,
Si jam tibi in omni re ceſſero quamcumque dixeris.
Aliis hæc præcipias, nec mihi

255. Proprium eſt eorum, qui percelluntur ira, eadem repetere, quia nunquam ſibi videntur ſatis dixiſſe. Huiuſmodi porro figura vocatur ἐπιβολὴ, quæ plura in unam eandemque periodum initia inducit; ut ſe habet & illud: *inter ipſos autem diſcordia verſabatur, & tumultus, & exitiale fatum*. Præterquam quod verbum κρατεῖν ſignificat vincere, ἄρχειν regnare, σημαίνειν autem præcipere. Id autem Achilli maxime invidiam conflat, quod appareat non pro Briſeide, ſed pro imperio cum Agamemnone contendere.

σνς'. K 256.

1. Ἐπειδὴ καὶ θείας λέξεως κ. τ. λ.) Eadem ex veteribus adnotat Euſtathius his verbis. καὶ ὅρα ὅπως οὔτε γενναιότητα, οὔτε εὐγένειαν ὑπερτίθησι τῆς βασιλείας. θείας γὰρ λέξεως, κατὰ τοὺς παλαιοὺς, δοκοῦσιν εἶναι οἱ βασιλεῖς, ex quibus colligitur Scholiaſtem noſtrum vetuſtiſſimum eſſe.

2. Ἐν δ' ἔρις, ἐν δὲ κυδοιμὸς) Homerus Iliad. XVIII. v. 535. Ἐν δ' ἔρις, ἐν δὲ κυδοιμὸς ὁμί-

σνϛʹ. Οἴω) Ἱκανὸν ἦθος ἔχει ὁ διαστιγμός.

256. Interpunctio illius vocis ſatis more comprobatur.

σνζʹ. Δειλός τε) Μέγιστον ὄνειδος ἄριστος ὢν οἴεται τὴν δειλίαν.

257. Optimus ipſe quum ſit maximum probrum ignaviam eſſe ducit.

σνηʹ. Εἰ δή σοι) Ὀρθοτονεῖ Ἡρωδιανὸς τὴν σοι. δῆλον γὰρ κἀκ τῆς γραφῆς. εἰ γὰρ ἦν ἐγκλιτική, ἐγράφετο ἂν διὰ τοῦ τοι, ὡς τὸ, εἰ δή τοι σοῦ πατρὸς ἐνέστακται μένος ἠΰ.

258. Herodianus vocem σοι recto tono profert, idque recte ſe habere ex ipſa met ſcriptione liquet; nam ſi enclitica eſſet, ſcriberetur hoc modo τοι, ut ibi: *ſi quidem tibi tui patris inſtillatus eſt animus fortis*.

σνθʹ. Ἐπιτέλλεο) Ταῦτα, ἃ ἐμοὶ ἐπιτάττεις. τὸ δὲ ἐμοὶ διὰ τὴν ἀντιδιαστολὴν τοῦ ἄλλοισιν ὀφείλει ὀρθοτονεῖσθαι.

259. Hæc quæ mihi præcipis; vox autem ἐμοὶ quum opponatur τῷ ἄλλοισι, *aliis*, recto tono proferenda eſt.

Σήμαιν'. οὐ γὰρ ἔγωγ' ἔτι σοι πείσεσθαι ὀΐω.

Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι.
Χερσὶ μὲν οὔτι ἔγωγε μαχήσομαι εἵνεκα κούρης.
Οὔτε σοί, οὔτε τῳ ἄλλῳ, ἐπεί μ' ἀφέλεσθέ γε δόντες.
Τῶν δ' ἄλλων ἅ μοι ἐστὶ θοῇ παρὰ νηῒ μελαίνῃ,

Τῶν οὐκ ἄν τι φέροις ἀνελὼν ἀέκοντος ἐμεῖο.

Jmperes: non enim me amplius tibi obtemperaturum opinor.
Sed aliud tibi dicam, tuque in mente tua reconde.
Manibus equidem non ego pugnabo gratia puellæ
Neque tecum, neque cum alio quovis, quum a me auſertis quod dediſtis:
Aliarum autem rerum, quæ mihi ſunt velocem apud navem nigram,
Harum utique nihil auſeres abripiens invito me

σξʹ. Ἔγωγ' ἔτι) Ἐὰν μὲν ἔτι, ἠθικῶς, ἐὰν δὲ τὶ, ἀποφαντικῶς λέγει. ἄμεινον δὲ ἔτι, διὰ τὸ καὶ τὸ οἴω ἠθικὸν εἶναι.

260. Siquidem ἔτι, *adhuc* ſcribatur, id Poetae more receptum eſt; ſi vero τὶ, *quid* per emphaſin dicit. Sed melius eſt ἔτι, *adhuc*; quia & verbum οἴω Poetæ uſitatum eſt.

σξαʹ. Χερσὶ μὲν) Ἔγνω οὐκ ἐκδόντα Ἀγαμέμνονα, καὶ δὴ αὐτὸς μεγαλοφυῶς εἴκει. πέπεισται γὰρ μετανοήσειν αὐτόν. ἑτοίμως δὲ ἀποδιδοὺς, διαβάλλει τὸν μόγις δόντα Χρυσηΐδα ὑπὲρ πάντων.

261. Novit Agamemnonem non dimiſſurum Briſeidem: quocirca ipſe ex animi ſui magnanimitate cedit. Putavit enim fore ut ipſum facti ſui pœniteret. Quum autem prompte ipſe Briſeidem reddat, tacite incuſat Agamemnonem, qui gravato animo Chryſeidem pro communi omnium ſalute reddebat.

σξβʹ. Χερσὶ μὲν οὔτι ἔγωγε μαχήσομαι) 1 Ὁ μὲν Ἀρίσταρχος διὰ τοῦ η γρα-

262. Ariſtarchus per η ſcribit; Heracleon autem nomina quidem per η. pro-

λιοι, ἐν δ' ὀλοὴ κήρ. Heſiodus in Scuto v. 156. Ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ὁμίλεον, ἐν δ' ὀλοὴ κήρ.
1. Ὁ μὲν Ἀρίσταρχος διὰ τοῦ η γράφει. ὁ δὲ Ἡρακλέων κ. τ. λ.) Habes ex Codice noſtro inte-

Digitized by Google

γράφει, ὁ δὲ Ἡρακλέων τὰ μὲν ὀνόματα διὰ τοῦ ι. ὡς τὸ μαχητὴς Τυδεὺς, τὰ δὲ ῥήματα διὰ τοῦ ε καὶ τῶν δύο σσ, ὡς τὸ, Σολύμοισι μαχέσσατο, ὃ καὶ ἄμεινον.

σξγ'. Τῷ ἄλλῳ) ἵνα μὴ νομισθῇ πρὸς ἕνα μόνον ἀξιόχρεως εἶναι μάχεσθαι. ἢ ὡς κοινωνοὺς τῆς ὕβρεως τοὺς Ἕλληνας συμπεριείληφεν, οὐκ ἐπαμύνοντας αὐτῷ στερημένῳ τῆς δωρεᾶς, καὶ πρὸς τὸ μὴ δοκεῖν βίᾳ, ἀλλ' ἐθελοντὴς δεδωκέναι.

σξδ'. Τῶν δ' ἄλλων, ἅ μοι ἐστὶ θοῇ παρὰ νηΐ) Διατί ὁ Ἀχιλλεὺς τὴν μὲν Βρισηΐδα φησὶ δώσειν. χερσὶ μὲν οὔτι ἔγωγε μαχέσσομαι εἵνεκα κούρης, τῶν δ' ἄλλων, ἅμοι ἐστὶ θοῇ παρὰ νηΐ μελαίνῃ, οὐδὲν προΐεσθαί φησιν ἄνευ πολέμου, καί τοι περὶ τὴν Βρισηΐδα τῶν ἄλλων μᾶλλον σπουδάζων; ῥητέον οὖν ὅτι ὅπως μὴ ἀκρατὴς εἶναι δοκῇ ἀποδοῦναι, εἰ καὶ πλείω τῶν ἄλλων, ὧν φησι φείδεσθαι, προσίετο. καὶ ὅτι νόμος ἦν τῷ βασιλεῖ ἐξαιρεῖσθαι τὰ πρῶτα. ὥστε παρηνόμει μὴ δοὺς τὴν αἱρεθεῖσαν ὑπὸ τοῦ βασιλέως. ἐξῆν γὰρ αὐτῷ ὅ, τι βούλοιτο λαβεῖν. διό φησιν ἢ τεὸν ἢ Αἴαντος ἢ Ὀδυσσῆος. ὥστε εἰς μὲν τὸ τῶν αἰχμαλωτίδων, ἀναγκαῖον ἦν εἴκειν, τῶν δὲ ἄλλων εἴ τι ἐλάμβανεν, ὡς ὑβρίζοντι οὐκ ἐπέτρεπεν. οὔτε γὰρ ἀδικεῖν δεῖ, οὔτε ἀδικεῖσθαι. τὸ μὲν γὰρ, πονηρίας ἐστὶ, τὸ δὲ, ἀνανδρίας.

σξε.

profert, ut *pugnator Tydeus*; verba vero per epſilon & geminum ſigma, ut, *contra Solymos pugnavit*, quod & melius.

263. Ideo illud adjicitur ne crederetur idoneus ad pugnandum contra unum ſolum. Vel tanquam injuriæ ſibi illatæ conſcios ac participes Græcos complectitur, qui ei, quum ab Agamemnone dono privaretur, opem non tulerunt; & ne videretur neceſſitate coactus, ſed ſponte ſua ductus puellam reddere.

264. Cur Achilles Briſeidem ſe daturum pollicetur, *manibus quidem non ego pugnabo gratia puellæ*; aliarum vero rerum, *quæ* (ut ille ait) *mihi ſunt apud navem velocem nigram* nihil ſine bello ſe dimiſſurum profitetur, quamvis majori cura & ſtudio Briſeidis teneretur, quam aliarum rerum? Dicendum igitur puellam ideo reddere ne incontinens eſſe videretur, quamvis eam plus quam cęteras res, a quibus abſtinere Græcos jubet, amore proſequeretur. Altera ratio hæc eſt quia lex erat, quæ Regi permittebat, ut primus omnium de præda, quod ei liberet, ſeligeret. Quam ob rem contra legem hanc feciſſet, niſi puellam a rege ſelectam conceſſiſſet; licebat enim Regi vi prædictæ legis quodcunque ei liberet accipere. Iccirco dicit, *vel tuum*, *vel Ajacis*, *vel Ulyſſis præmium auferam*. Quarequoad captivas pertinebat neceſ-

 ſe

gram ea de re Heracleonis regulam, quam Euſtathius mutilam refert; ait enim Heracleonem nomina quidem ſcribere per ι, verba vero per ε. μαχέσομαι (non item per duo ſigma, ut Codex noſter habet) quod in cauſſa fuit cur Salvinus in not. ad eum locum Heracleonem rei metricæ imperitum οὐκ ὀρθῶς judicaverit.

σξέ. Ἀνελών) [1] Ὑφ' ἓν τὸ ἀνελών. πρόκειται γὰρ οὐκ ἄντι φέροις.

σξϛ'. Ἀέκοντος) Δασυντέον τὸ ἀέκοντος. κατὰ στέρησιν γάρ ἐστι τὸ α.

Εἰ δ' ἄγε μὴν πείρησαι, ἵνα γνώωσι καὶ οἵδε,
Αἶψά τοι αἷμα κελαινὸν ἐρωήσει περὶ δουρί.
Ὣς τώγ' ἀντιβίοισι μαχεσσαμένω ἐπέεσσιν
Ἀνστήτην. λῦσαν δ' ἀγορὴν παρὰ νηυσὶν Ἀχαιῶν.

Πηλείδης μὲν ἐπὶ κλισίας καὶ νῆας ἐΐσας
Ἤϊε σύν τε Μενοιτιάδῃ καὶ οἷς ἑτάροισιν.

σξζ'. Πείρησαι) Προπαροξύνεται. προστακτικὸν γάρ ἐστιν, ὡς τὸ, σὺ δὲ φράσαι.

σξή. Αἶψα) Ἐκ τοῦ ἵπτω τὸ βλάπτω, ἴψω, ἶψα, συναιρέσει αἶψα ἐπίρρημα. τὸ γὰρ ἀνεμπόδιστον ταχέως γίνεται.

σξθ'. Ὡς τώγ') Ὁ τρόπος παραγραφή. μετιὼν γὰρ ἐπὶ ἑτέραν διήγησιν τούτῳ χρῆται.

Ἄλλο. Τὸ τω σημαίνει πέντε, ὄνομα, ἄρθρον, ἀντωνυμίαν, σύνδεσμον αἰτιολογικὸν, καὶ ῥῆμα. Ὄνομα μὲν, ὡς τὸ, οὔτε σοὶ, οὔτέ τῳ ἄλλῳ. ἐστι γὰρ ἀντὶ

ſe erat eum cedere; quo ad alia vero, ſi quidpiam Agamemnon auferre voluiſſet, merito tanquam injuriam inferenti reſtitiſſet. Neque enim injuriam inferre neque pati oportet; illud enim improbitatis eſt, hoc ignaviæ.

265. Conjunctim illud ἀνελών legendum eſt; præceſſit enim οὐκ ἄντι φέροις.

266. Spiritu aſpero notanda eſt vox ἀέκοντος, quippe quæ alpha privativum præſefert.

Sin minus, age, fac periculum, ut cognoſcant & hi:
Statim tibi ſanguis niger fluet per lanceam.
Sic hi contrariis contendentes verbis
Surrexerunt: ſolverunt autem concionem apud naves Achivorum.
Pelides quidem ad tentoria & naves æquales
Abiit cumque Menœtiade ſuiſquecommilitonibus,

267. Ea vox acuto in antep. effertur; eſt enim imperativi modi, quemadmodum illud σὺ δὲ φράσαι.

268. Ab ἵπτω, quod ſignificat noceo; futurum ἴψω, aoriſtus ἶψα, & privativo alpha præfixo ἄιψα, & per ſynæreſin fit αἶψα adverbium; quod enim obſtaculo caret cito fit.

269. Eſt in oratione tropus, qui παραγραφὴ dicitur; ad aliam enim narrationem deſcendens eo utitur.

Aliud. Vox τω quinque ſignificat; nomen, articulum, pronomen, conjunctionem cauſſalem, & verbum. Nomen ut ibi. οὔτε σοὶ, οὔτε τῳ ἄλλῳ, eſt

1. Ὑφ' ἓν τὸ ἀνελών) Alii ſejunctim ἂν ἑλὼν legunt, ut in MS. Barocc. apud Barneſium; ſed hanc lectionem refellit Interpres hac ratione, quia præcedit, inquit, οὐκ ἄντι φέροις, ideoque ſi legeretur ἂν ἑλὼν illud ἂν bis occurreret. Quamquam ſæpe in eodem orationis membro ἂν reduplicatum reperire licet, ut apud Ariſtophanem in Avibus
Ἡ δὲ Ἑλλὰς ἂν ἐξερρυηκυῖ' ἂν ἡμᾶς ἔλαθεν,
idque ad Atticam dialectum pertinere docet Corinthus in dialectis.

ἀντὶ τῷ τινί. ῥῆμα δὲ, ὡς τὸ, κύκλωψ τῆ πίε οἶνον. ἔστι γὰρ τὸ τῆ ἀντὶ τοῦ λάβε. ἄρθρον δὲ οὕτως, ὡς τὸ, ἔοικε τῷ δεῖν. ἀντωνυμίαν δὲ, ὡς τὸ, τῷ μιν ἐρειδάμενος. σύνδεσμον δὲ αἰτιολογικὸν, ὡς τὸ, τῷ σέθεν οὐ δύναμαι, ἀντὶ τοῦ διό. ὅτε μέν τοι ἄρθρον σημαίνει ἑνικὸν μόνης δοτικῆς πτώσεως περισπᾶται, δυϊκὸν δὲ εὐθείας, καὶ αἰτιατικῆς βαρύνεται.

est enim hoc loco pro *τινί*, *cuipiam*; verbum, ut illud: *Cyclos accipe*, *bibe vinum*, ubi vox *τῆ* pro *λάβε*; articulum, ut quum dicimus *videtur alicui*; pronomen, ut *τῷ μιν ἐρειδάμενος*; conjunctionem denique caussalem, ut, *τῷ σέθεν οὐ δύναμαι*, pro *διό*. Quando itaque articulum significat in singul. dat. caſ. circumflectitur, in duali nominat. & accuſat. gravatur.

σο. Ἀνστήτην) Ὥσπερ ἀναχεθέειν ἀγχεθέειν, οὕτως ἀναστήτην ἀνστήτην.

270. Quemadmodum ab *ἀναχεθέειν* fit *ἀγχεθέειν*, ſic ab *ἀναστήτην* fit *ἀνστήτην*.

σοά. Σύν τε Μενοιτιάδῃ) Εἰκότως τῷ Ἀχιλλεῖ θυμικῷ ὄντι ἤπιος ὢν Πάτροκλος πάρεστι, πρὸς τὸ τὸν θυμὸν αὐτοῦ μαλάσσειν. ὅτι δὲ πρᾶός ἐστι, δῆλον ἐξ ὧν οἰκτείρει τοὺς Ἀχαιούς. Εὐρύπυλον μὲν γὰρ ἰᾶται, καὶ περὶ τῶν λοιπῶν Ἀχιλλεῖ παρακαλεῖ, καὶ Μενέλαος περὶ αὐτοῦ φησι. νῦν τις ἐνηείης Πατρόκλῆος.

271. Merito iracundo Achilli mitis Patroclus adſtat, ut ejus iram leniat ac permulceat. Quod autem mitis eſſet Patroclus, patet ex eo, quod Achivos miſereatur; Eurypylo enim medetur, ac reliquis apud Achillem miſerationem conciliat. Et Menelaus de ipſo ait; *nunc aliquis manſuetudinis Patrocli*.

Ἀτρείδης δ' ἄρα νῆα θοὴν ἅλαδε προέρυσσεν.
Ἐς δ' ἐρέτας ἔκρινεν ἐείκοσιν, ἐς δ' ἑκατόμβην
Βῆσε θεῷ. ἀνὰ δὲ Χρυσηΐδα καλλιπάρῃον
Εἷσεν ἄγων, ἐν δ' ἀρχὸς ἔβη πολύμητις Ὀδυσσεύς.
Οἱ μὲν ἔπειτ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα.
Λαοὺς δ' Ἀτρείδης ἀπολυμαίνεσθαι ἄνωγεν.

Atrides autem navem velocem in mare deduxit,
Et in eam remiges elegit viginti, & hecatomben
Impoſuit Deo: & Chryſeidem pulchras genas habentem
Collocavit ducens: dux autem conſedit ſapiens Ulyſſes.
Hi quidem, conſcenſa navi, innavigabant humidas vias.
Exercitum autem Atrides luſtrari juſſit.

σοβ'. Ἀτρείδης δ' ἄρα νῆα θοὴν) Ἀνεπαγγέλτως ἔχουσι τὰς ἐννοίας οἱ στίχοι, ὧν ἀφελών τι, ἢ προσθεὶς μᾶλλον ἀδικήσεις. δῆλον δὲ ὅτι οὐκ ἐθαλάσσευόν τινες τῶν νεῶν, ἐπεὶ τίς χρεία νεωλκίας; ἔστι δὲ ὁμοιοτέλευτον τὸ σχῆμα.

272. Carmina hæc perſpicuam præſeferunt ſententiam adeo ut quidpiam detrahendo vel addendo, detrimentum potius eis afferas. Perſpicuum porro eſt non omnes in mari naves ſemper verſari; quid enim opus fuiſſet

μα, προίρυσσε, ἕκειτε, βῆσσε, εἴσσε ἄγων.

ſet naves in mare deducere? Præterea eſt in oratione figura, quæ dicitur ὁμοιοτέλευτον, *ſimiliter deſinens*, προίρυσσε, ἕκειτε, βῆσεν, εἴσεν ἄγων.

σογʹ. Εἴσσε ἄγων) Ἀγαγὼν τὴν Χρυσηΐδα εἴσσε. ὁ μετὰ δώρων δὲ μὴ αὐτὴν διδοὺς, μετὰ προσθήκης ἀποδίδωσιν, ἐξυπηρετούμενος πρὸς δυσώπησιν τοῦ Θεοῦ.

273. Adducens Chryſeidem in navi collocavit. Qui porro cum donis eam reddere recuſavit, poſtea cum additamento, ipſe videlicet miniſtrando ad placandum Deum reddere cogitur.

σοδʹ. Ὑγρὰ κέλευθα) Τὰς ὁδοὺς. ὡς ἀπὸ δίφρος δίφρα, οὕτως ἀπὸ τοῦ κέλευθος κέλευθα, καὶ ἔστι μεταβολὴ γένους. Διατί δὲ μὴ καθαροὺς ἐκπέμπει; ὅτι προὐργιαίτερα τῷ Θεῷ ἡ ἀπόδοσις. ψυχαγωγεῖ δὲ διὰ τούτου καὶ τὸ πλῆθος, ὡς ἤδη καθαρθέντες εἶεν διὰ τὴν τοιαύτην ἀπόδοσιν.

274. Vias. Quemadmodum a maſculino ſingulari δίφρος fit plurale neutrum δίφρα, ſic a ſingulari κέλευθος per generis mutationem fit κέλευθα. Cur autem facta prius expiatione mundos eos non emittit? Quia videlicet Deo acceptius erat puellam reddere. Præterea per hoc populum permulcet, quaſi ſcilicet per hujuſmodi reſtitutionem jam purgati fuerint.

Οἱ δ' ἀπελυμαίνοντο, καὶ εἰς ἅλα λύματ' ἔβαλλον.
Ἕρδον δ' Ἀπόλλωνι τεληέσσας ἑκατόμβας
Ταύρων ἠδ' αἰγῶν παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο.
Κνίσση δ' οὐρανὸν ἷκεν ἑλισσομένη περὶ καπνῷ.
Ὣς οἱ μὲν τὰ πένοντο κατὰ στρατόν. οὐδ' Ἀγαμέμνων
Λῆγ' ἔριδος, τὴν πρῶτον ἐπηπείλησ' Ἀχιλῆϊ.
Ἀλλ' ὅγε Ταλθύβιόν τε καὶ Εὐρυβάτην προσέειπε.
(Τώ οἱ ἔσαν κήρυκε καὶ ὀτρηρὼ θεράποντε.)

Illique luſtrabantur, & in mare ſordes projiciebant
Sacrificabantque Apollini perfectas hecatombas
Taurorum & caprarum juxta littus maris infructuoſi.
Nidorque ad cœlum ibat circumfuſus fumo.
Sic hi quidem hæc operabantur in caſtris: necdum Agamemnon
Ceſſabat a contentione, quam principio interminatus fuerat Achilli.
Sed is Talthybiumque & Eurybatem affatus eſt
[Qui ei erant præcones & ſeduli miniſtri.]

σοεʹ. Ἀπελυμαίνοντο) Ἀπεκαθαίροντο, καὶ εἰς τὴν θάλασσαν τὰ περιττώματα, καὶ καθάρματα ἔβαλλον. 1 Ἰακῶς δέ ἐστι τὸ βάλλον κατὰ ἀποκοπὴν, τὸ δὲ ὄνομά ἐστιν ὁλόκληρον.

275. Expurgabantur, & in mare ſordes, ac purgamenta projiciebant. Jonicum vero eſt τὸ βάλλον per apocopen factum, & nomen λύματα integrum profertur.

σοςʹ. Παρὰ θῖν' ἁλὸς) Ἀξιοπρεπὴς ἡ

276. Decora eſt juxta littus viſio; ma-

1. Ἰακῶς δέ ἐστι) Scholiaſtes ergo legit καὶ εἰς ἅλα λύματα βάλλον, Codicis noſtri lectionem ſecutus, idque contra editiones, in quibus legitur λύματ' ἔβαλλον.

Digitized by Google

ἢ παρὰ τὸν αἰγιαλὸν θῖα, μεγαλοφυεῖς δὲ, καὶ ἐπιπλώμεναι θυσίαι. τοῦτο γὰρ δηλοῖ τὸ πληέσσας.

σοϛ'. Καπνῷ) Ὑπ' ὄψιν ἤγαγεν ἅμα τῷ μέλανι τοῦ καπνοῦ.

ροζ'. Εὐρυβάτην) Ἄλλος ὁ κατὰ Ὀδυσσεία Εὐρυβάτης, καὶ ἄλλος οὗτος.

σοή. Ὀτρηρὼ) Παρὰ τὸ ὀρῶ τὸ ὁρμῶ. 1 Θεράποντες δὲ οἱ τοὺς κρείσσονας δι' ὠφέλειαν θεραπεύοντες, ὡς Ἐτεωνεὺς, καὶ Μηριόνης. ὁμωνύμως δὲ καὶ οἱ δοῦλοι θεράποντες λέγονται.

Ἔρχεσθον κλισίην Πηληϊάδεω Ἀχιλῆος,
Χειρὸς ἑλόντ' ἀγέμεν Βρισηΐδα καλλιπάρηον.

Εἰ δέ κε μὴ δώησιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι
Ἐλθὼν σὺν πλεόνεσσι. τό οἱ καὶ ῥίγιον ἔσται.
Ὣς εἰπὼν, προΐει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε.
Τὼ δ' ἀέκοντε βάτην παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο.
Μυρμιδόνων δ' ἐπί τε κλισίας καὶ νῆας ἱκέσθην

Τὸν δ' εὗρον παρά τε κλισίῃ καὶ νηῒ μελαίνῃ

Ἔρχεσθον) Ὑβριστικὸν τοῦτο. οὐ γὰρ ἐντυχεῖν Ἀχιλλεῖ κελεύει, ἀλλ' ὡς ἑαυτοῦ οὖσαν ἄγειν. Βασιλικὸν δὲ καὶ τὸ ἀπόλυτον τῆς φράσεως. βασιλικὸν δὲ καὶ τοῦτο, τὸ δι' ἄλλων πειρᾶσθαι, καὶ οὕτως ἐπιχειρεῖν.

σπ'. Δώῃσιν) Ἀπὸ τοῦ δώω, ἐπεὶ δύο δεῖ λαμβάνειν τὰς ἐπεκτάσεις, ἐὰν ᾖ ἀπὸ τοῦ δῶ. τὸ δὲ ἕλωμαι ἀντὶ τοῦ ἑλῶμαι, ἢ ἑλοίμην.

magnifica autem & perfecta erant ſacrificia, quæ ibi offerebantur, quod perſpicuum fit per illud πληέσσας, *perfectas*.

277. Oculis quodammodo ſubjecit nidorem cum nigredine fumi adſcendentem.

278. Alius eſt Eurybates, cujus mentio in Odyſſea: alius de quo hoc loco ſermo eſt.

279. Ab ὀρῶ, quod ὁρμῶ, *propero* ſignificat. Θεράποντες autem proprie ii ſunt, qui præſtantiores capiendæ utilitatis cauſſa colunt, ut Eteoneus & Meriones. Servi quoque eodem nomine Θεράποντες appellantur.

Abite ad tentorium Pelidæ Achillis,
Manu prehenſam abducite Briſeida pulchris genis.
Quod ſi non dederit, egomet auferam
Veniens cum pluribus: quod ei & acerbius erit.
Sic fatus, miſit ultro, duraque mandata addidit:
Hique inviti ibant juxta littus maris infructuoſi.
Myrmidonumque ad tentoriaque & naves pervenerunt.
Et invenerunt apudque tentorium & navem nigram

280. Contumelioſum illud eſt; non enim jubet ut Achillem conveniant, ſed ut eam tanquam ſuam abducant. Regiam porro dignitatem decet tum abſoluta illa locutio, tum periclitari per alios, & ſic rem aggredi.

281. A verbo δώω ea vox deſcendit; alias duæ admittendæ ſunt productiones, ſi a δῶ deducatur. Vox autem ἕλωμαι eſt pro fut. ἑλῶμαι, vel ἑλοίμην, *auferam*.

1. Θεράποντες δὲ] Horum rationem totam habes apud Ariſtotelem Eth. ad Nicom. VIII.

σπβ'. Ἐπὶ μῦθον ἔτελλε) Ἐπέτελλε, συνεχῶς ἐπέταττεν.

σπγ'. Ἀέκοντε) Εἰκότως. καὶ τὸν Ἀγαμέμνονα γὰρ δεδοίκασι, καὶ πρὸς ὃν ἀποστέλλονται.

σπδ'. Κλισίῃ) πλησίον τῆς σκηνῆς.

σπε'. Μελαίνῃ) Διὰ τῆς μελαίνης τὸ σκυθρωπὸν τῆς ἕδρας δηλοῖ.

282. ἐπέτελλε, continuo imperavit.

283. Merito; nam & Agamemnonem timuerunt, & Achillem ad quem mittebantur.

284. Prope tentorium.

285. Per epitheton illud *μελαίνης*, *nigræ* tetram & horribilem ſedem denotat.

Ἥμενον. οὐδ' ἄρα τώγε ἰδὼν γήθησεν Ἀχιλλεύς.

Τὼ μὲν ταρβήσαντε, καὶ αἰδομένω βασιλῆα,
Στήτην, οὐδέ τί μιν προσεφώνεον, οὐδ' ἐρέοντο.

Αὐτὰρ ὃ ἔγνω ᾗσιν ἐνὶ φρεσὶ, φώνησέν τε,
Χαίρετε κήρυκες Διὸς ἄγγελοι ἠδὲ καὶ ἀνδρῶν.

Ἆσσον ἴτ'. οὔ τί μοι ὔμμες ἐπαίτιοι, ἀλλ' Ἀγαμέμνων,
Ὅ σφῶϊ προΐει Βρισηΐδος εἵνεκα κούρης.
Ἀλλ' ἄγε διογενὲς Πατρόκλεες ἔξαγε κούρην,

Sedentem: neque ſane hos intuitus lætatus eſt Achilles.
Hi quidem perterriti, & reveriti Regem,
Stabant, nec quicquam eum alloquebantur, nec interrogabant.
Cæterum hic cognovit animo ſuo dixitque,
Salvete præcones, Jovis nuncii, atque etiam hominum:
Propius accedite; nihil mihi vos culpandi, ſed Agamemnon,
Qui vos miſit Briſeidis cauſſa puellæ.
Quare age, generoſe Patrocle, educ puellam.

σπς'. Τώγε ἰδὼν) 1 Μεμετρημένη ἡ διάθεσις, οὔτε πλέον λυπουμένου. ἀγενὲς γὰρ, οὔτε ἧττον. ἀσυμπαθὲς γάρ.

σπζ'. Οὐδέ τί μιν) Τὸ μὲν γὰρ εἰπεῖν τι, παροξυντικὸν, τὸ δὲ θωπεῦσαι, δουλοπρεπές. Πρῶτος δὲ Ὅμηρος πρόσωπα κωφὰ εἰς τὴν τραγῳδίαν παρήγαγεν.

σπη'. Διὸς ἄγγελοι,) Ἢ ὅτι τὰς ἑορτὰς αὐτοῦ ἀγγέλουσιν, ἢ ὅτι ἀπὸ Ἑρμοῦ εἰσιν, ὃς ἄγγελος Διός. Καλῶς δὲ οὐκ Ἀγαμέμνονος ἔφη, ἀλλ' ἀνδρῶν καὶ Διὸς, οἳ δικαίως ὑπηρετοῦσι. τούτῳ γὰρ ἀδίκως. κοινὸς δὲ ὁ νόμος, μὴ ἀδικεῖσθαι κηρυ-

286. Moderata eſt hæc animi affectio, qua neque plus quam par eſt triſtatur; [illegible] enim ignobile eſt; neque minus, quod ſtuporem præſefert.

287. Dicere enim quidpiam ad iram provocabat, adulari vero ſervile erat. Primus autem omnium Homerus in Tragœdiis mutas perſonas, quæ ſcil. nihil loquerentur, induxit.

288. Sic appellantur præcones, vel quia ejus ſolemnitates nunciant, vel quia a Mercurio Jovis nuncio deſcendunt. Recte autem non Agamemnonis dixit, ſed *Jovis virorumque*, quia hiſce juſte miniſtrant, illi injuſte. Lex

1. Μεμετρημένη) Imo per ἀντίφρασιν illud dictum eſſe vult Plutarchus de fig. Hom. ut contrarium ſignificet, Achillem ſcilicet magna triſtitia affectum fuiſſe.

Digitized by Google

κήρυκα. ἱεροὶ γὰρ εἰσι, καὶ τὰς θυσίας προετοιμάζοντες.

Lex autem communi omnium conſenſu recepta hæc eſt, ne lædantur præcones; ſacri enim hi ſunt, & ſacrificia præparant.

σπθ'. Ἄασον) Διὰ σχήματος ἐδήλωσεν, ὡς τῷ δέει ᾗ προέκοψαν. τιμήσαντες ἂν ἀντιτιμῶνται.

289. Per figuram ſignificat eos timore perculſos ulterius non perrexiſſe. Quum igitur Achillem ipſi honoraverint, viciſſim ab eo honorantur.

σϟ'. Υ̓́μμες ἐπαίτιοι) 1 Πεπαιδευμένως. ἐ γὰρ δεῖ τὰς αἰτίας ἐφ' ἑτέρους μετάγειν, 2 ὡς κύνα κατὰ τῦ βεβλημένυ λίθυ. τὸ δὲ ὔμμες ψιλῦται. αἰολικὸν γάρ ἐστιν, ὡς 3 δηλοῖ καὶ ἡ συναλοιφὴ, αἴκ' ὔμμιν ὑπέχῃ χεῖρα.

290. Scite; non enim oportet cauſſas ad alios transferre, inſtar canis contra jactum lapidem inſurgentis. Vox autem ὔμμες ſpiritu leni effertur, quia Aeolica eſt, quod per ſynalœphen in hoc exemplo αἴ κ' ὔμμιν ὑπέχῃ χεῖρα clare patet.

σϟα'. Ὃ σφῶϊ) Δι' ἑνὸς σίγμα. ὁμοίως τὸ, θώρηχ' ὃ γὰρ ἦν οἱ.

291. Per unum ſigma ſcribendum (hoc modo ὃ σφῶϊ) quem ad modum ſe habet illud: *thoracem; eum enim qui erat ei*.

σϟβ'. Διογενὲς) Ἐξαίρει πάλιν τὸ πρόσωπον. τοῖς γὰρ τῶν φίλων γνησιωτάτοις εἰώθαμεν πιστεύειν τὰ γύναια.

292. Rurſus Patrocli perſonam extollit; conſuevimus enim amicis omnium maxime fidelibus ac ſynceris mulierculas concredere.

Καὶ σφῶϊν δὸς ἄγειν. τὼ δ' αὐτὼ μάρτυροι ἔστων
Πρός τε θεῶν μακάρων, πρός τε θνητῶν ἀνθρώπων,
Καὶ πρὸς τῦ βασιλῆος ἀπηνέος, εἴποτε δ' αὖτε
Χρειὼ ἐμεῖο γένηται ἀεικέα λοιγὸν ἀμῦναι
Τοῖς ἄλλοις. ἦ γὰρ ὅγ' ὀλοιῇσι φρεσὶ θύει,
Οὐδέτι οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω,

Et ipſis trade ut abducant: vos ipſi vero teſtes eſtote
Coram Diis beatis, coramque mortalibus hominibus,
Et coram rege immiti, ſi unquam poſthac
Opus me fuerit ad indignam peſtem arcendam
Ab aliis. certe enim ille pernicioſis conſiliis furit,
Neque poteſt intelligere ſimul præſentia & futura,

σϟγ'. Τὼ δ' αὐτὼ) Μαρτυρεῖν αὐτοὺς ἐγκελεύεται, ὅπως μὴ δόξῃ προδότης εἶναι, ὑπερορῶν τοὺς Ἀχαιοὺς ἀναιρε-

293. Ad teſtimonium ea de re perhibendum eos hortatur, ne proditor eſſe videatur ex eo quod Achivos puel-

1. Πεπαιδευμένως] Hoc adverbium deeſt in optimis lexicis; deſcendit autem a participio πεπαιδευμένος, τῦ πεπαίδευμαι, cujus thema παιδεύω, *doceo* &c.

2. Ὡς κύνα κατὰ τῦ βεβλημένυ λίθυ) Eadem ſimilitudine utitur Plato V. de Rep. οἱ ταῖς λίθοις οἷς ἂν βληθῶσι τῦ βάλλοντος ἐχ ἁπτόμεναι. Loquitur de iis qui cadaver expoliant, & mortui corpus hoſtem putant.

3. Δηλοῖ καὶ ἡ συναλοιφὴ. αἴκ' ὔμμιν) Si enim pronomen ὔμμιν ſpiritu aſpero notaretur, ſy-

ρημένης. τὰ δὲ ἄλλα οὐχ ἅπτεται τοῦ Ἀγαμέμνονος, ὅπως μὴ δοκῇ μικροψυχεῖν ἐπὶ τῇ ἀφαιρέσει.

σϟδ΄. Θεῶν μακάρων) Πρότερον τῶν πυθαγορικῶν Ὅμηρος μέσην ἀνθρώπου, καὶ Θεοῦ φύσιν ἀνθρωπίνην τέθεικε. τὸν μὲν γὰρ ἁπλῶς ἄνθρωπον τοῦ βασιλέως κατ' ἀμφότερά φησιν ἐλάττονα, καίπερ ἀνθρώπου καὶ αὐτοῦ ὄντος. Θεοῦ δὲ ἥττονα τὸν βασιλέα εἶναί φησι, διὰ τὸ φθαρτόν.

σϟέ. Ἔιποτε) Καλῶς οὐκ εἶπεν ὁπότε. νεμεσητὸν γὰρ ἦν, τὸ δὲ ἀεικέα τὸν ὑβριστικόν.

σϟϛ΄. Χρειὼ) Ὄνομά ἐστιν, ὡς κλειώ. καὶ γὰρ χρειοῖ ἀναγκαίῃ.

σϟζ΄. Οὐδὲ νοῆσαι) Δεῖ γὰρ τὸν ὅλως ἔχοντα γνῶσιν, μὴ τὰ παρόντα μόνον σκοπεῖν, ἀλλὰ καὶ τὰ μέλλοντα, καὶ ἀποβησόμενα. μέγιστον δὲ τοῦτο πρὸς κατηγορίαν ἡ ἀπρονοησία καὶ τῷ ψιλῷ ἀνθρώπῳ, ὥς που φησί. νήπιοι ἀγροιῶται ἐφημέρια φρονέοντες.

lam auferentes negligat. Cæterum Agamemnonem non objurgat, ne puſillanimis videatur, ob ereptam puellam dolens.

294. Ante Pythagoricos Homerus mediam quandam, Deum inter & hominem, naturam humanam poſuit. Purum enim hominem ſecundum utramque partem rege inferiorem eſſe dicit, quamvis & ipſe rex homo ſit; regem vero ipſum propter humanæ ſuæ naturæ imbecillitatem fragilitatemque Deo inferiorem adſerit.

295. Recte non dixit ὁπότε, *quum*, id enim odioſum erat: illud autem ἀεικέα ſignificat ὑβριστικόν, *quæ graſſatur*.

296. Nomen eſt, ut κλειώ, *etenim neceſſitate dura*.

297. Oportet enim virum plane prudentem non ſolum præſentia, verum etiam futura, & quæ eventura ſunt conſiderare. Quapropter illud maxime valet ad incuſandum quempiam, vilem etiam & abjectum, ſi nimirum ei objiciatur quod futura non proſpiciat, ut ibi ait: *ſtulti ruſtici, quæ in diem accidunt cogitantes*.

Ὅππως οἱ παρὰ νηυσὶ σόοι μαχέοιντο Ἀχαιοί.
Ὣς φάτο. Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ' ἑταίρῳ.
Ἐκ δ' ἄγαγε κλισίης Βρισηΐδα καλλιπάρῃον,
Δῶκε δ' ἄγειν. τὼ δ' αὖτις ἴτην παρὰ νῆας Ἀχαιῶν.
Ἡ δ' ἀέκουσ' ἅμα τοῖσι γυνὴ κίεν. αὐτὰρ Ἀχιλλεὺς
Δακρύσας, ἑτάρων ἄφαρ ἕζετο νόσφι λιασθεὶς,

Ut ſibi apud naves ſalvi pugnent Achivi.
Sic dixit. Patroclus autem caro paruit ſodali,
Eduxitque e tentorio Briſeida pulchris genis.
Et tradidit abducendam: illi autem redibant ad naves Achivorum;
Tum illa invita una cum his mulier ibat. Sed Achilles
Lachrymans, a ſociis ſtatim ſedit ſeorſim ſeparatus,

σϟή. Μαχέοιντο) Μάχοιντο. πλεονασ-

298. Pro μάχοιντο, eſtque in ea voce

naloephe in propoſito exemplo fieret hoc modo ἄνχ' ὔμμιν, verſa nempe tenui κ in aſpiratam χ propter aſperum ſequentis dictionis.

νασμὸς δέ ἐστι τοῦ ε.

σϟθ'. Ἐπέπειθ' ἑταίρῳ) Τὸ ἤπιον αὐτοῦ διὰ τῆς σιωπῆς τῆς νῦν, κἂν ὅλῃ τε τῇ στάσει, καὶ μηνιθμῷ δεικνύει. καὶ νῦν δὲ οὐ φθέγγεται, ἵνα μὴ ᾖ παροξυντικός.

τ'. Καλλιπάρῃον) Εὖ τὸ ἐπίθετον εἴρηται, τῆς τοῦ ἐρῶντος διάθεσιν ἐμφαῖνον, καὶ δηλοῦν οἵας ἐρᾷ.

τα'. Τὼ δ' αὖτις) Οὔτε γὰρ ἐπαινεῖν, οὔτε ψέγειν εἶχον τὸ λεχθέν. οὐ λαβόμενοι δὲ τῆς χειρὸς ἦγον, ὡς προσετάχθησαν.

τβ'. Ἀέκουσα) Ἔστι γὰρ φίλανδρος, ὡς ὁ τρόπος αὐτῆς δηλοῖ, καὶ ταύτην δευτέραν αἰχμαλωσίαν εἶναι ὁρίζεται. διὰ μιᾶς δὲ λέξεως ὁλόκληρον ἡμῖν τοῦ προσώπου ἦθος νοεῖν καταλέλοιπεν.

τγ'. Δακρύσας, ἑτάρων ἄφαρ ἕζετο νόσφι λιασθεὶς) [1] Ἕτοιμον τὸ ἡρωϊκὸν πρὸς δάκρυα. καὶ Ὀδυσσεύς, ὡς δὲ γυνὴ κλαίῃσι, καὶ ἡ παροιμία, ἀεὶ δ' ἀειδάκρυες ἀνέρες ἐσθλοί. ἄλλως τε καὶ φιλότιμος ὤν, ἀνιᾶται τῇ ὕβρει. παλαιᾶς τε γὰρ συνηθείας στέρεται, καὶ γυναικὸς ἀκουσίως ἀπαλλάττεται. ἄκρως δὲ ἐρῶντα χαρακτηρίζει. οὗτοι γὰρ ταῖς ἐρημίαις ἥδονται, ἵνα τῷ πάθει σχολάζωσι. τὸ δὲ νόσφι, ὅπως μὴ γνώριμον τοῖς ἑταίροις ᾖ τὸ πρὸς τὴν μητέρα ἐντύχημα. τὸ δὲ ἄφαρ δηλοῖ καὶ τὸ ἔπειτα.

τδ'.

voce pleonaſmus literæ epſilon.

299. Ejus lenitatem oſtendit per ſilentium, quod hoc loco, & per totam contentionem, atque iram ſervat. Nunc porro non loquitur, ne Achillis animum exaſperet.

300. Recte illud epitheton uſurpatur, quod amantis affectum oſtendit, & declarat qualem puellam amore proſequatur.

301. Neque enim laudare, neque vituperare dictum poterant. Minime vero manu apprehendentes eam duxerunt, ut antea juſſerat Agamemnon.

302. Viri enim amore tenetur, ut mos ejus oſtendit; & hanc ſecundam captivitatem eſſe cenſet. Uno autem verbo univerſum perſonæ morem nobis conſiderandum reliquit.

303. Proclives propenſique ſunt ad lachrymas heroes. Ulyſſes quoque *tanquam mulier luget*, & illud vulgari ſermone tritum eſt proverbium *boni autem admodum lacbrymantur viri*; præſertim vero quum honoris cupidus ſit Achilles, injuriam ſibi illatam ægre fert. Veteri enim puellæ conſuetudine privatur, & invito animo a muliercula ſeparatur. Adeo autem amantium characteres exprimit, ut nihil magis; hi enim ſolitudine gaudent, ut paſſioni indulgeant. Illud aute νόσφι, *ſeorſum* dicitur, ne notum eſſet ſociis cum matre collo-

L 2 quium-

1. Ἕτοιμον τὸ ἡρωϊκὸν πρὸς δάκρυα] Confirmat id doctiſſimus Barneſius pluribus exemplis illuſtrium Heroum, maxime vero Chriſti Domini, quem ἡμίθεον & θεάνθρωπον appellat. Caveat tamen Chriſtianus quum de Chriſto loquitur ab epitheto ἡμίθεος, *Semideus*; hoc enim de Chriſto prædicatum cadit, ut Theologi noſtri loquuntur, ſupra Perſonam, quæ in Chriſto totus Deus eſt, non Semideus, quod putridam ſapit hæreſin.

Digitized by Google

παραπληροῖ δὲ ὁ περ.

τή. Ὀλύμπιος) Οὕτω κατ' ἐξοχὴν τὸν Δία, καὶ κρονίδην αὐτόν φησι.

τθ'. Ὑψιβρεμέτης) Ὁ ἐν ὕψει βρέμων διὰ τῶν βροντῶν, ἢ τῶν ἀνέμων. φιλεγκλήμονες δὲ κατὰ Θεῶν οἱ ἀτυχεῖς.

τί. Εὐρυκρείων) Ποιητικὸν τὸ ἐπίθετον.

autem materno amore, & miſeratione provocat, & ſummatim ſupplicationem exponens, latius deinceps eam perſequitur. Vox vero μινυνθάδιον fit ab adverbio μίνυνθα, particula περ redundante.

308. Sic per excellentiam vocat Jovem, quem etiam κρονίδην, *Saturnium* appellat.

309. Qui in excelſo loco per tonitrua, vel ventos ſtrepitum & fragorem edit. Facile autem de Diis conqueruntur, qui in calamitates incidunt.

310. Poetis epitheton illud uſitatum.

Ἠτίμησεν. ἑλὼν γὰρ ἔχει γέρας, αὐτὸς ἀπούρας.

Ὣς φάτο δακρυχέων. τοῦ δ' ἔκλυε πότνια μήτηρ,

Ἡμένη ἐν βένθεσσιν ἁλὸς παρὰ πατρὶ γέροντι.

Καρπαλίμως δ' ἀνέδυ πολιῆς ἁλὸς, ἠΰτ' ὀμίχλη.
Καί ῥα πάροιθ' αὐτοῖο καθέζετο δακρυχέοντος
Χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε,

Contumelia affecit: qui ablatum habet præmium, ipſe poſtquam eripuit.
Sic dixit lachrymas fundens. Hunc autem audivit veneranda mater,
Sedens in profunditatibus maris apud patrem ſenem.
Rapimque emerſit e cano mari, velut nebula;
Et ante ipſum ſedit lachrymas fundentem,
Manuque eum demulſit, & verba fecit, & compellavit,

τιά. Ἀπούρας) Ἀντὶ τοῦ ἔλαβεν, οὐ πειθοῖ, ἀλλ' ἀπουρίσας. ἄλλοι γάρ οἱ ἀπουρίσσουσιν ἀρούρας.

τιβ'. Δακρυχέων) Τὸ δακρυχέων ὑφ' ἓν ἀναγνωςέον.

τιγ'. Πότνια) Σεπτή. οἱ γὰρ σεβόμενοι προσπίπτουσι τοῖς Θεοῖς, καὶ ποτνιᾶσθαι δέ ἐςι τὸ προσπίπτειν, καὶ παρακαλεῖν.

τιδ'. Γέροντι) Τοὺς ἐν θαλάσσῃ τιμωμένους ἁλίους γέροντάς φησι, ὡς Πρωτέα, Φόρκυνα, Νηρέα.

τιέ. Καρπαλίμως) Ἀντὶ τοῦ κραιπνῶς. ταχεῖα δὲ ἡ ἄνοδος, ὡς μητρὸς καὶ

311. Pro ἔλαβεν, *accepit*, non perſuadendo, ſed auferendo, ut ibi ἄλλοι γάρ οἱ ἀπουρίσσουσιν ἀρούρας

312. Vox δακρυχέων conjunctim proferenda eſt.

313. Veneranda; qui enim venerantur, ſupplices ad Deos accidunt, & ποτνιᾶσθαι idem eſt, quod ad genua accidere, & obſecrare.

314. Eos qui in mari coluntur marinos ſenes appellat, ut Proteum, Phorcyna, Nereum.

315. Pro κραιπνῶς, *celeriter*. Celeriter autem aſcendit quippe quum ma-

Digitized by Google

καὶ Θεᾶς. φαντασία δέ τις περίκειται τῇ Θεῷ διὰ τῆς ὁμίχλης, ἢ ὅτι θαλασσία ἐστὶν ἡ Θεός. τὴν γὰρ Ἥραν τῷ παρεικάζει. λεπτομερὴς γὰρ ὁ ἀὴρ, ὡς προσύγκρισις τῶν ὑδάτων.

mater ſit ac Dea. Imagine vero quadam repræſentatur Dea per nebulam, vel(ideo nebulæ adſimilatur) quia marina Dea eſt. Simili enim ratione Junonem(per quam aer deſignatur) menti adſimilat; quandoquidem aer tenuiſſimus eſt, quippe qui ex aquæ particulis prius permixtis & exſtenuatis gignatur.

τιϛʹ. Δακρυχέων) Οὐκ ἐξίσταται τοῦ κλαυθμοῦ, ἐπεὶ οὐ μεμπτέος. οὐδὲν γὰρ ἄτοπον εἰ καὶ ἄλκιμος ἦν, ὅτι λελύπηται. ἐλεύθερος γὰρ ὢν, καὶ ἁπλοῦς τοῦτο ποιεῖ, οὐ διὰ μικροψυχίαν.

316. Non ceſſat a lachrymis, qua in re non erat reprehendendus. Quamvis enim fortis & magnanimus eſſet, abſonum tamen non erat eum triſtitia affici, quippe quum ex animi ejus bonitate ſimplicitateque, non ex puſillanimitate id proficiſceretur.

Τέκνον, τί κλαίεις, τί δέ σε φρένας ἵκετο πένθος;
Ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα εἴδομεν ἄμφω.
Τὴν δὲ βαρυστενάχων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς,
Οἶσθα· τίη τοι ταῦτ' εἰδυίῃ πάντ' ἀγορεύω;
Ὠχόμεθ' ἐς Θήβην ἱερὴν πόλιν Ἠετίωνος,
Τὴν δὲ διεπράθομέν τε, καὶ ἤγομεν ἐνθάδε πάντα.

Fili, quid fles, & quis tuam mentem invaſit mœror?
Dic, ne tegas animo, ut ſciamus ambo.
Hanc autem graviter ſuſpirans allocutus eſt pedes velox Achilles,
Noſti: cur hæc omnia tibi conſciæ dicam?
Ivimus in Theben ſacram urbem Eetionis,
Hanc diripuimus, & adduximus huc omnia:

τιζ. Τέκνον) Φυσικῶς φθέγγεται, καὶ τῶν κοινῶν ὀνομάτων οὐκ ἐξίσταται. ἕνα γὰρ ἔχουσα, καὶ τοῦτον ἄθλιον, πῶς ἂν αὐτὸν ἄλλως καλέσειεν; ἔστι δὲ καὶ ἡ πεῦσις σύντομος, ὡς ἂν μαθεῖν ἐπειγομένης.

317. Naturaliter loquitur, & communibus nominibus(quibus matres uti ſolent) utitur. Quum enim unicum haberet filium, eumque miſerum, quomodo aliter ipſum vocare poterat? Eſt autem brevis interrogatio(qualis decebat matrem, quæ ad filium properaverat, & ſui mœroris cauſſam) intelligere cupiebat.

τιη. Εἴδομεν) Ἀνθ' ὑποτακτικοῦ μέν ἐστιν, ἀλλ' ἡ συστολὴ ἀνέδωκε τὸν τόνον. οὐ γὰρ παροξύνομεν κατὰ τὸν Πάμφιλον, ἐν δὲ τῇ τοιαύτῃ τῶν λόγων ἀνακοινώσει, κυρίζεται τοῦ βάρυς ἢ ψυ·

318. Ea vox pro ſubjunctivo ſumitur, ſed per correptionem accentum in antepenultimam retrahit; non enim acuto penultimam notamus juxta Pamphilum. Per hujuſmodi autem

Digitized by Google

ψυχή.

τιθ'. Βαρυστενάχων) [1] Ὁ Σιδόνιος περισπᾷ, ὁ δὲ Ἀρίσταρχος βαρύνει. τὰ πολλὰ γάρ φησι κινήματα, ὡς ἀπὸ βαρυτόνου γέγονε. βαρὺ δὲ στενάχοντος ἄκουσα, ἐπεστενάχοντο δ' ἑταῖροι.

τκ'. Ὠιχόμεθ' ἐς Θήβην ἱερὴν πόλιν Ἠετίωνος) Ὁ τρόπος ἀνακεφαλαίωσις. [2] τέσσαρα δὲ διηγήσεων εἴδη, ἃ καὶ ἰδέαι, ὧν μὲν τὸ ὁμιλητικὸν, ὡς ὅταν παρά τινός τις ἀκούσας, αὐτῷ διηγεῖται ἃ ἤκουσεν, ὡς τὸ, πολλάκι γάρ σέο πατρός. τὸ δὲ ἀπαγγελτικὸν, ὡς ὅταν ἃ παρ' ἑτέρου ἤκουσεν, ἑτέρῳ διηγοῖτο, ὡς τὸ, ἀγγελίαν τινά τοι γαιήοχε. τὸ δὲ ὑποστατικὸν, ὡς ὅταν τινὰ τῶν πραγμάτων ἀπαγγεῖλαι ὑποθέμενοι, διηγώμεθα, ὡς τὸ, ὡς ὁπότ' Ἠλείοισι, καὶ ἡμῖν νεῖκος ἐτύχθη. τὸ δὲ μικτὸν ἐξ ὁμιλητικοῦ, καὶ ὑποστατικοῦ, ὡς τὸ, ἀλλὰ σὺ τόν γ' ἐλθοῦσα θεὰ ὑπελύσαο δεσμῶν. εἰ γὰρ ἦν ὁμιλητικὸν, οὕτως ἂν εἶπεν, ἀλλά σε τῶν δεσμῶν ἀπολῦσαι καλέσασαν τὸν Ἑκατόγχειρον. ὁ δὲ ἐφ' ἑτέραν πτῶσιν μετελθὼν, ὡς ἴδιον ἤδη λόγον, καὶ οὐχ ὡς παρ' ἐκείνης εἰρημένον διέξεισιν. ῥητορικὸς δὲ ὢν ὁ ποιητὴς, καὶ τρόπον ἀνακεφαλαιώσεως βουλόμενος διδάξαι ἡμᾶς, ταῦτα πάλιν διέξεισιν. Ἡ δὲ Θήβη χωρίον ἐρημόν ἐστι, πλησίον Λέσβου, ἀπὸ Θήβης τῆς Ἀδράσμυος. ταύτην γὰρ ἆθλον ὁ πατὴρ

tem ſermonum communicationem triſtitiæ pondere levatur animus.

319. Sidonius eam vocem circumflectit, Ariſtarchus vero accentu gravi notat; plerique enim motus, ait, tanquam a gravitonis oriuntur: *graviter autem ſuſpirantem audivi ingemueruntque ſocii*.

320. Eſt in oratione tropus, qui anacephalæoſis dicitur. Quatuor vero ſunt enarrationum genera, quæ etiam ideæ nuncupantur. Unum eſt homileticum (quo in familiari ſermone utimur) ut quum aliquis alicui narrat, quæ ab eo audivit; cujus exemplo eſt, *ſæpe te gloriantem in patris ædibus audivi*: alterum apangelticum, quum alicui quiſpiam narrat, quæ ab alio audivit, c. g. *nuntium quoddam tibi terræ motor*: tertium hypoſtaticum, ut quum res quaſdam referre proponentes, eas cuipiam narramus; cujus rei exemplo eſt illud, *ſicut quando inter Elios, & nos bellum ortum eſt*: quartum denique mixtum eſt ex homiletico & hypoſtatico, ut illud, *ſed tu illum adveniens liberaſti vinculis*. Si enim ad familiare genus narrationis pertineret, dixiſſet, *ſed te audivi vocantem Centimanum, ut a vinculis eum liberaret*: verum Achilles ad alium caſum deſcendens, tanquam ſuum ſermo-

1. Ὁ Σιδόνιος περισπᾷ) Juxta Sidonium lege βαρυστεναχῶν, tanquam a circumflexo βαρυστεναχῶ, juxta vero Ariſtarchum βαρυστενάχων, ut in editionibus.
2. Τέσσαρα δὲ διηγήσεων εἴδη] Eadem ferme ἐκ τῶν παλαιῶν profert Euſtathius; omittit tamen quartum illud genus, mixtum ſcilicet ex familiari & hypoſtatico, & minus recte quam ſcholiaſta noſter eo loco Achillis narrationem ad familiare genus narrationis, non autem ad mixtum refert. En Euſtathii verba ſi placet audire:

Ἰστέον δὲ ὅτι διηγήσεων, αἱ μέν εἰσιν ὁμιλητικαὶ, κατὰ τοὺς παλαιοὺς, ὅτε τὶς δηλαδὴ ἀκούσας ποτὲ ἀπὸ

Digitized by Google

τὴν πρǘθετο τῷ προǘχοντι τῷ γυμνικῷ ἀγῶνι. λαβὼν δὲ αὐτὴν Ἡρακλῆς, ἔκτισε τὴν πόλιν, ὀνομάσας ἐκ ταύτης. Οἱ δὲ ἀθετοῦντες τοὺς στίχους, οὐκ ἐῶσι μαθεῖν ἡμᾶς ὅθεν ἥλω Χρυσηΐς. ἔπλει μὲν πορθήσων Χρύσαν Ἀχιλλεὺς, Ἀθηνᾶ δ' οὐκ εἴα, φάσκουσα μὴ αἱρήσειν δι' Ἀπόλλωνα. εἰς Θήβας δὲ ἥκουσα ἡ Χρυσηΐς, πρὸς Ἰφινόην Ἠετίωνος ἀδελφὴν, Ἄκτορος δὲ θυγατέρα, ἥλω ὑπὸ Ἀχιλλέως. μεγαλοφυῶς δὲ συντέμνει τὰ περισσὰ τῶν λόγων, καὶ τῶν ἱστοριῶν.

monem, non quem ab illa prolatum audiverit, exponit. Jam vero quum rhetoricæ artis peritus eſſet Poeta, noſque figuram anacephalæoſin docere vellet, hæc rurſus oratione perſequitur. Thebe porro regio eſt in ſolitudine, prope Leſbum ſita, quæ a Thebe Adraſmyos filia nomen traxit. Hanc enim ejus pater in præmium ei propoſuit, qui in gymnico certamine palmam reportaret. Quum itaque eam obtinuerit Hercules, urbem condidit, quam ab illa denominavit. Qui vero carmina hæc rejiciunt, nobis non relinquunt intelligendi locum unde Chryſeis capta fuerit, quæ res ſic ſe habet. Achilles Thebas profectus eſt, ut Chryſam depopularetur, quod non permiſit Minerva, id ei prohibens propter Apollinem. Quum ergo Thebas veniſſet Chryſeis, ad Iphinoem Eetionis ſororem, Actoriſque filiam, ab Achille capta eſt. Scite autem ſupervacaneis ſermonibus, & hiſtoriis relictis, breviter quæ neceſſaria ſunt narrat.

Καὶ τὰ μὲν εὖ δάσσαντο μετὰ σφίσιν υἷες Ἀχαιῶν,
Ἐκ δ' ἕλον Ἀτρείδῃ Χρυσηΐδα καλλιπάρῃον.
Χρύσης δ' αὖθ' ἱερεὺς ἑκατηβόλου Ἀπόλλωνος,
Ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν χαλκοχιτώνων,

Et hæc quidem recte diviſerunt inter ſe Achivi,
Elegerunt autem Atridæ Chryſeida pulchris genis:
Chryſes autem poſtea ſacerdos longe jaculantis Apollinis,
Venit ad veloces naves Achivorum ære loricatorum,

τκσ´. Δάσαντο) Κοινωνὸν μὲν αὐτὸν ἐν τοῖς κατορθώμασί φησι, ἐν δὲ τῷ δάσαντο χωρίζει. τὸ δὲ σφίσιν ὀρθοτονη-

321. In rebus præclare geſtis ſe ſe participem adſerit; in prædæ autem diviſione non item. Vox autem σφί-

τικῶς τι, αὐτῷ ἐκείνῳ διηγεῖται τῷ εἰπόντι τὸ πραχθέν. αἱ δὲ, ἀπαγγελτικαὶ, ὅταν ὅπου τις κελευσθεὶς ἀγγείλῃ τὸ παρ' ἑτέρου ἐπιταχθέν. αἱ δὲ, ὑφηγητικαὶ ὅταν τις οἴκοθεν ἀφηγεῖταί τι παρ' ἑαυτοῦ ἢ παρ' ἑτέρου πραχθὲν, ὡς πολλαχοῦ ὁ Νέστωρ ποιεῖ. ἐνταῦθα δὲ ὁ Ἀχιλλεὺς, ὑμνητικὴν ἐκτίθεται διήγησιν, ἐκεῖνα λέγων τῇ μητρὶ, ἅπερ ἤκουσεν ἀπ' αὐτῆς.

Digitized by Google

ποιητέον, ἐπειδὴ ὡς σύνθετον παραλαμβάνεται, καὶ ὅτι προθέσει συντέτακται.

σφίσιν recto tono effertur, tum quia tanquam compoſita aſſumitur, tum etiam quia cum propoſitione conſtruitur.

Λυσόμενός τε θύγατρα, φέρων τ' ἀπερείσι' ἄποινα,
Στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος,
Χρυσέῳ ἀνὰ σκήπτρῳ. καὶ ἐλίσσετο πάντας Ἀχαιούς.
Ἀτρείδα δὲ μάλιστα, δύω κοσμήτορε λαῶν.
Ἔνθ' ἄλλοι μὲν πάντες ἐπευφήμησαν Ἀχαιοὶ,
Αἰδεῖσθαι θ' ἱερῆα, καὶ ἀγλαὰ δέχθαι ἄποινα.
Ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ,
Ἀλλὰ κακῶς ἀφίει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε.
Χωόμενος δ' ὁ γέρων, πάλιν ᾤχετο. τοῖο δ' Ἀπόλλων
Εὐξαμένου ἤκουσεν, ἐπεὶ μάλα οἱ φίλος ἦεν.
Ἧκε δ' ἐπ' Ἀργείοισι κακὸν βέλος, οἱ δέ νυ λαοὶ
Θνῆσκον ἐπασσύτεροι. τὰ δ' ἐπῴχετο κῆλα Θεοῖο
Πάντῃ ἀνὰ στρατὸν εὐρὺν Ἀχαιῶν, ἄμμι δὲ μάντις
Εὖ εἰδὼς ἀγόρευε θεοπροπίας Ἑκάτοιο.

Redempturuſque filiam, ferenſque infinitum pretium liberationis,
Inſulamque habens in manibus longe jaculantis Appollinis.
Aureo cum ſceptro: & ſupplex oravit omnes Achivos,
Atridas autem in primis duos duces populorum.
Tunc alii quidem omnes comprobarunt Achivi
Reverendumque eſſe ſacerdotem, & ſplendidum accipiendum redemptionis pretium:
At non Atridæ Agememnonis placuit animo,
Sed contumelioſe dimiſit, & minacem ſermonem addidit.
Tum iratus ſenex rurſus abivit: hunc que Apollo.
Precantem exaudivit, quoniam ei cariſſimus erat.
Immiſitque Argivis peſtiferam ſagittam, populique
Moriebantur confertim: & ferebantur miſſilia Dei
Quoquo verſus per exercitum latum Achivorum. & nobis vates
Peritus in concione narrabat vaticina Apollinis:

τκβ'. Ἐλίσσετο) Οὐ προσέθηκε τοὺς λόγους, οὓς οὗτος ἔφησεν. οὐ γὰρ ἀναγκαῖον νῦν, ἢ καὶ διὰ τὸ μῆκος ἀπέφυγεν.

322. Non adjecit verba, quæ Chryſes protulit; ſiquidem neceſſe non erat ea hoc loco referre: vel etiam ob prolixitatem ea prætermiſit.

τκγ'. [1] Παρὰ τὸ ἄσσον ἀσσύτεροι, ὡς παῦρον παυρότεροι.

323. Ab ἄσσον fit ἀσσύτεροι, quemadmodum a παῦρον παυρότεροι.

Αὐτίκ' ἐγὼ πρῶτος κελόμην Θεὸν ἱλάσκεσθαι.
Ἀτρείωνα δ' ἔπειτα χόλος λάβεν. αἶψα δ' ἀναστὰς
Ἠπείλησεν μῦθον, ὃ δὴ τετελεσμένος ἐστί.
Τὴν μὲν γὰρ σὺν νηῒ θοῇ ἑλίκωπες Ἀχαιοὶ

Statim ego primus hortabar Deum placari.
Sed Atridem deinde ira cepit: ſtatimque exurgens
Interminatus eſt verbum, quod jam perfectum eſt.
Illam ſiquidem cum navi veloci nigris oculis Achivi

τκδ'. Πρῶτος) Ὡς καὶ τῶν ἄλλων τοῦτον ἐχόντων τὸν σκοπόν.

324. Perinde ac ſi alii quoque hunc finem habuerint.

Ἐς M *Ad.*

1. Παρὰ τὸ ἄσσον ἀσσύτεροι) Etymologus: ἆσσα ἄσσον, τὸ ἐγγύς. ἐξ αὐτοῦ ἀσσότερος, καὶ ἐπασσύτερος.

Ἐς Χρύσην πέμπουσιν, ἄγουσι δὲ δῶρα ἄνακτι,
Τὴν δὲ νέον κλισίηθεν ἔβαν κήρυκες ἄγοντες

Κούρην Βρισῆος, τήν μοι δόσαν υἷες Ἀχαιῶν.
Ἀλλὰ σύ, εἰ δύνασαί γε, περίσχεο παιδὸς ἑῆος,
Ἐλθοῦσ' Οὔλυμπόν δὲ Δία λίσαι, εἴποτε δή τι

Ἢ ἔπει ὤνησας κραδίην Διός, ἠὲ καὶ ἔργῳ.
Πολλάκι γάρ σέο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα
Εὐχομένης, ὅτ' ἔφησθα κελαινεφέϊ Κρονίωνι

Ad Chryſem deducunt, feruntque dona Apollini·
Etenim nuper e tentorio iverunt præcones ducentes
Puellam Briſei, quam mihi dederant Achivi.
Sed tu, ſiquidem potes, fer opem filio tuo.
Profecta ad cœlum Jovem precare, ſi ulla unquam in re
Vel verbo profuiſti Jovi, vel etiam facto.
Sæpe enim te patris in ædibus audivi
Gloriantem, quum dicebas, ab atras nubes cogente Saturnio

τκέ. Δύνασαί γε) Οὐ διστάζων, ἀλλὰ σχετλιάζων φησίν, εἴγέ σοι κἂν τοῦτο χαρίζεται ὁ Ζεύς.

τκϛ'. Λίσαι) Ἀπὸ τοῦ ἔλισα, ὅθεν καὶ ἐλισάμην.

τκζ. Οὔλυμπόνδε) Δικαίως ἡ αἰτία ἡμῖν εἴρηται τῆς ἀποστάσεως τοῦ Διός, ὅπως μὴ δοκῇ εἶναι ὡς Ἕλλην ὁ Ζεύς. Οἱ δὲ βασιλεῖς θεοποιοῦντες αὐτοὺς, τοιαῦτα περὶ Θεῶν ἐφήμιζον· ὥστε ὅταν καὶ αὐτοὶ αὐχῶσι, μὴ ἀπιστοῖντο Θεῶν εἶναι παῖδες. ἐστοχάσατο δὲ πάντων Ὅμηρος, ἐν μὲν τῷ προσδιαλόγῳ οὐδὲν εἰπών, ὅπως μὴ ὀνειδίζειν δοκῇ, οὐ μὴν τὴν αἰτίαν εἰάσας ἄγνωστον. Ἄξιον δὲ καὶ τοῦτο παρασημήνασθαι, ὅτι καθ' Ὅμηρον οὐ νεογνὸν κατέλιπεν Ἀχιλλέα ἡ Θέτις. 1 Ἀρίσταρχος δὲ τὴν σεο ἐγκλίνει, λέγων ἁπλῆν τε αὐτὴν εἶναι, καὶ ἀντιδιαστολὴν οὐκ ἔχειν· ὁ δὲ Ἡρωδιανὸς καί τοι, φησίν, ὀφείλουσα ὀρθοτονεῖσθαι, ὅμως πέπεισμαί φησι κατὰ τὴν ἀνάγνωσιν Ἀριστάρχῳ. Ὁ δὲ νοῦς οὕτως· πολλάκις σοῦ ἐν τοῖς τοῦ πατρὸς ἐμοῦ δόμοις ἤκουσα εὐχομένης.

τκζ'.

325. Non dubitando, ſed conquerendo illud dicit, ut ſenſus ſit, ſi modo vel tantillum hoc tibi Jupiter indulſerit.

326. Ab ἔλισα, ex quo & ἐλισάμην.

327. Merito Jupiter diſtare dicitur ob hanc cauſſam, ne ſcil. Græcorum aliquis crederetur. Reges porro ſemetipſos Deos facientes, talia de Diis jactitabant, ut quum & ipſi gloriabantur, Deorum filii crederentur. Quæ omnia probe conjecerat Homerus; ſed nihil in collocutione dixit, ne exprobrare videretur; minime tamen cauſſam incognitam reliquit. Illud præterea notatu dignum eſt, quod juxta Homerum haud recens natum Achillem Thetis dereliquit. Porro juxta Ariſtarchum pronomen σέο accentum in præcedentem dictionem transfert, quia, inquit, ſimplex eſt, nullamque diſtinctionem habet. Herodianus vero quamvis recto tono pronuntiandum eſſe adſerat, attamen quoad lectionem illius vocis Ariſtarcho aſſentitur.

Sen-

1 *Ἀρίσταρχος δὲ τὴν σεο ἐγκλίνει*] Lege juxta Ariſtarchum & Herodianum γάρ σεο, non γάρ σέο, ut in pleriſque editionibus.

τκή. Κελαινεφέϊ) Παρὰ τὸ μελαίνοντα τὸν ἀέρα νείφειν αὐτόν.

Οἴη ἐν ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι,
Ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι,
Ἥρη τ', ἠδὲ Ποσειδάων, καὶ Παλλὰς Ἀθήνη.
Ἀλλὰ σὺ τόν γ' ἐλθοῦσα Θεὰ ὑπελύσαο δεσμῶν
ὦχ' Ἑκατόγχειρον καλέσασ' ἐς μακρὸν Ὄλυμπον,
Ὃν Βριάρεων καλέουσι Θεοὶ, ἄνδρες δέ τε πάντες
Αἰγαίων'· ὁ γὰρ αὖτε βίῃ οὗ πατρὸς ἀμείνων,
Ὅς ῥα παρὰ Κρονίωνι καθέζετο κύδεϊ γαίων.

τκθ. Ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι) Τίποτε ἄρα βουλόμενος ταῦτα ἔπλασε, πολὺ ἔχοντα ἄλογον, καὶ ἀνάρμοστον· εἴγε Ἀθηνᾶ, καὶ Ἥρη, καὶ Ποσειδῶν ἐβούλοντο συνδῆσαι τὸν Δία, ἡ μὲν θυγάτηρ οὖσα, οἱ δὲ ἀδελφοί; Διὸ καὶ [1] ἀντὶ τῆς Ἀθηνᾶς γράφουσι Φοῖβος Ἀπόλλων, ὥσπερ οὐ τοῦ αὐτοῦ μένοντος ἀτόπου. καὶ ἄλλοι πάλιν ἐναλλάσσουσι τὰ ἔπη, οἴη ἐν ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι, Ἥρην ἠδὲ Ποσειδάων, καὶ Παλλὰς Ἀθήνη, ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι· ἵνα οὗτοι μὲν οἱ Θεοὶ φαίνοιντο βοηθήσαντες αὐτῷ μετὰ Θέτιδος, καὶ μύθους δὲ λέγουσιν ἐπὶ τούτοις πολλούς. Μάχεται δὲ τοῖς ἐναλλάσσουσι τὸ, οἴη ἐν ἀθανάτοισι. πῶς γὰρ

Senſus itaque eſt; *ſæpe te in Patris mei ædibus audivi gloriantem.*

328. Ex eo ſic denominatur Jupiter, quod nubes atras reddens ningere faciat.

Solam inter immortales indignam cladem avertiſſe,
Quando eum colligare cœlites voluerunt alii,
Junoque, & Neptunus, & Pallas Minerva:
Sed tu eum ſuperveniens, Dea, liberaſti a vinculis,
Statim Centimanum vocans in excelſum Olympum,
Quem Briareum vocant Dii, homines autem omnes
Ægæonem: is enim viribus ſuo patre præſtantior,
Qui apud Saturnium ſedebat honore lætus.

329. Quid ſibi voluit dum hæc finxit, quæ valde abſurda & rationi contraria ſunt; ſiquidem Minerva, Juno, & Neptunus Jovem in vincula conjicere volebant, quum illa ſit ejus filia, hi fratres? Quocirca pro Ἀθηνᾶ, *Minerva* nonnulli ſcribunt καὶ Φοῖβος Ἀπόλλων, & *Phoebus Apollo*, quaſi ſi hoc dicatur non idem maneat abſurdum. Alii rurſus invertunt carmina hoc modo: *Solam inter immortales duram avertiſſe perniciem, Junonemque & Neptunum, & Palladem Minervam, quum ipſum colligare cælites voluerunt alii.* Ut hi quidem Dii una cum Thetide Jovi opem tuliſſe videantur, alii vero fuerint, qui eum in vincula conjicere vellent, ac de his plura fabulantur. Verum iis, qui carmina

M 2

1. Ἀντὶ Ἀθηνᾶ γράφουσι Φοῖβος Ἀπόλλων) Auctor hujus lectionis apud Euſtathium Zenodotus, qui quæ ſequuntur carmina ſic legebat,
Αἰγαίωνα· ὃ γὰρ πολὺ φέρτερός ἐστιν ἁπάντων
Ὁππόσσοι ναίουσ' ὑπὸ τάρταρα εὐρώεντα,
ut ad mentem Zenodoti reconcinnavit Henricus Stephanus.

Digitized by Google

γὰρ τοῦ ποιητοῦ λέγοντος ὅτι μόνη, ἐνδέχεται καὶ τοὺς ἄλλους ἐπεισάγειν βοηθούς; τίνα δὲ καὶ τὸν Βριάρεων χρὴ νοεῖν; καὶ πῶς οὗτος βίῃ τοῦ πατρὸς ἀμείνων; Δεῖ τοίνυν φυσικόν τινα μᾶλλον ἐν τούτοις ἐπινοεῖν λόγον. Δία γάρ φησι τὴν ἄκρατον ἀθερμασίαν, τὴν καὶ τοῦ ζῆν, καὶ εἶναι ἡμᾶς αἰτίαν· Ποσειδῶνα, τὸ ὕδωρ· Ἥραν, τὸν ἀέρα· Ἀθηνᾶν, τὴν γῆν· Βριάρεων, τὸν ἥλιον. πάντων γὰρ τῶν ἄστρων φωτεινότατός ἐστι· Θέτιν δὲ, τὴν θέσιν, καὶ φύσιν τοῦ παντός. τοῦ ἡλίου τοίνυν ἀφισταμένου ἐπὶ τὰ μεσημβρινὰ, ψύξεως γινομένης ἐν τοῖς καθ' ἡμᾶς μέρεσι, συμβαίνει τὸν ἀέρα φύσιν ἔχοντα μεταβάλλειν εἰς ὕδωρ, τότε μάλιστα ἐξυγραίνεσθαι πλέον, καὶ δυσχείμερον γίνεσθαι. Ποσειδῶνα οὖν, καὶ Ἥραν, καὶ Ἀθηνᾶν διὰ τοῦτο βουλομένους συνδῆσαι τὸν Δία φησίν, ἐμφαίνων, ὡς ἔφην, τὴν χειμερινὴν κατάστασιν, ἐν ᾗ συμβαίνει τὸ ψυχρὸν ἐπικρατέστερον εἶναι τοῦ θερμοῦ. ἀλλ' ἡ Θέτις ἀνάγουσα τὸν ἥλιον ἐπὶ τὰ βόρεια, φαίνεται ὥσπερ βοηθοῦσα τῷ Διί. εἰκότως δὲ τὸν Ἑκατόγχειρον τοῦτόν φησιν, ὅτι πάντα τρέφει, καὶ αὔξει, καὶ φύει, καθάπερ πολλαῖς ὁμοῦ χερσὶν ἐργαζόμενος. οὗ πατρὸς δὲ ἀμείνων, τοῦ Διός. Ἀπόλλωνα γάρ φησι τὸν ἥλιον.

mina invertunt obſtat illud, *ſola inter immortales*. Quomodo enim quum Poeta adſerat ſolam Minervam opitulatam fuiſſe, accidit ut alii quoque adjutores inducantur? Quid item de Briareo cogitandum? Et quomodo hic viribus ſuo patre præſtantior? Alia igitur in hiſce conciliandis magis propria ratio excogitanda eſt. Jovem ergo appellat immoderatum calorem, qui vitæ noſtræ & eſſentiæ cauſſa eſt; Neptunum, aquam; Junonem, aerem; Minervam, terram; Briareum, ſolem; hic enim maxime omnium aſtrorum fulget; Thetida denique diſpoſitionem atque naturam Univerſi. Quum itaque ſol ad meridionalem plagam vergit, tunc accidente in regionibus noſtris frigore, evenit aerem naturam ſuam in aquam convertere, tuncque madefactum, & ob hyberna frigora gravem magis magiſque moleſtum evadere. Propterea Neptunum dicit, Junonem, atque Minervam in vincula Jovem conjicere voluiſſe; oſtendens, ut ajebam, hybernam conſtitutionem, in qua accidit frigus calore validius eſſe. Sed Thetis Solem ad borealem plagam adducens Jovi quodammodo opitulari videtur. Merito autem ſol Centimanus appellatur, quia omnia nutrit, pullulare & creſcere facit, multis veluti manibus agendo. Suo autem patre dicitur potentior, hoc eſt Jove; Apollinem enim ſolem dicit.

τλ'. Βριάρεων) Ὡς μουσοτραφὴς καὶ τὰς παρὰ θεοῖς ἐπίσταται λέξεις, ἢ τὰ τελεώ-

330. Tanquam Muſarum alumnus novit eas voces, quæ in uſu apud

Digitized by Google

λοώτερα Θεοῖς ἀνατίθησιν.

apud Deos ſunt; vel perfectiora Diis tribuit.

Τὸν καὶ ὑπέδδεισαν μάκαρες Θεοὶ, οὐδ' ἔτ' ἔδησαν.
Τῶν νῦν μιν μνήσασα παρέζεο, καὶ λάβε γούνων,
Αἴ κέν πως ἐθέλῃσιν ἐπὶ Τρώεσσιν ἀρῆξαι,
Τοὺς δὲ κατὰ πρύμνας τε καὶ ἀμφ' ἅλα ἔλσαι Ἀχαιοὺς
Κτεινομένους, ἵνα πάντες ἐπαύρωνται βασιλῆος,
Γνῷ δὲ καὶ Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων
Ἣν ἄτην, ὅτ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν.
Τὸν δ' ἠμείβετ' ἔπειτα Θέτις κατὰ δάκρυ χέουσα,

Quem extimuerunt immortales Dii, neque amplius ligaverunt.
His nunc illi in memoriam revocatis aſſide, & prehende genua,
Si quo modo velit Trojanis opem ferre,
Ad puppes vero uſque & ad mare concludere Achivos
Cæſos, ut omnes plectantur ob regem,
Sentiat autem & Atrides late dominans Agamemnon
Suam culpam, quod fortiſſimum Achivorum nihil honoravit.
Huic reſpondit deinde Thetis lachrymas eſfundens,

τλα'. Λάβε γούνων) Κεφαλῆς μὲν λαμβανόμεθα, ὅτι ἡγεμονικὸν, τῆς δεξιᾶς δὲ, ὅτι πρακτικὸν, γονάτων δὲ, ὅτι δι' αὐτῶν ἐπικλᾶται τὸ σῶμα, εἶτα ἡ ψυχὴ, καὶ οἱ λόγοι.

331. Caput apprehendimus, quia princeps corporis pars eſt; dexteram, quia activa eſt; genua denique, quia per ea corpus flectitur, deinceps anima, & ſermones.

τλβ'. Ἐπαύρωνται) Ὅτι ἐπὶ κακοῦ τὸ ἀπολαῦσαι, καὶ κατ' εἰρωνίαν εἴρηται παρ' αὐτοῦ.

332. De malo τὸ ἀπολαῦσαι, frui prædicatur, idque hoc loco per ironiam intelligendum eſt.

Ὤ μοι τέκνον ἐμὸν, τί νύ σ' ἔτρεφον αἰνὰ τεκοῦσα;
Αἴθ' ὄφελες παρὰ νηυσὶν ἀδάκρυτος καὶ ἀπήμων
Ἧσθαι· ἐπεί νύ τοι αἶσα μίνυνθά περ, οὔτι μάλα δήν.
Νῦν δ' ἅμα τ' ὠκύμορος καὶ ὀϊζυρὸς περὶ πάντων

Heu fili mi, cur te enutrivi, quem malo fato peperi?
O utinam apud naves ſine lachrymis & illæſus
Sederes: nam certe tibi fata inſtant nec procul abſunt:
Sed nunc ſimul & cito moriturus, & ærumnoſus ſupra omnes

τλγ'. Ὤ μοι τέκνον ἐμὸν) Οὐκ εὐθὺς τὴν διακονίαν ὑπισχνεῖται, προολοφύρεται δὲ, εἰδυῖα τὴν αἴτησιν πρόξενον αὐτῷ οὖσαν θανάτου. τὸ δὲ ἑξῆς αἰνὰ τεκοῦσα, ἐπεί νύ τοι αἶσα· τὸ δὲ αἴθ' ὄφελες, διὰ μέσου τοῦ αἰνὰ, ἤτοι ματαίως, καὶ ἀπράκτως.

333. Non illico ei operam ſuam atque miniſterium pollicetur, ſed prius conqueritur, probe ſciens ejus petitionem ſuæ mortis fore præludium. Quod deinceps ſequitur ſic conſtruendum eſt αἰνὰ τεκοῦσα, ἐπεί νύ τοι αἶσα· illud autem αἴθ' ὄφελες ducendum per medium τοῦ αἰνά, hoc eſt fruſtra, & nihil proficiendo.

Digitized by Google

τλδʹ. Αἴθ' ὄφελες) Ῥῆμά ἐστι κατὰ παντὸς ἀριθμοῦ φερόμενον, ὡς δὴ μὴ ὄφελον νικᾶν, ὡς μ' ὄφελ' Ἕκτωρ κτεῖναι. φησὶ δὲ ὅτι προεθέμην ἄν σε ἄπρακτον βίον ζῆσαι· ἐπὶ λύμῃ ἐμῇ τοῦτον εἶλου τὸν βίον. Διὸ καὶ δυσαριστοτόκειαν ἑαυτὴν ὀνομάζει.

334. Verbum eſt, quod per omnem numerum vagatur, ut, *utinam non viciſſem: utinam Hector me interfeciſſet*. Senſus autem eſt, mallem te inertem vitam ducere, quam ſic te habere; ad perniciem meam talem nactus es vitam. Quapropter conqueritur ſe optimam quidem, ſed infelici fato prolem partu edidiſſe.

τλέ. Μίνυνθά περ) Ἐπ' ὀλίγον χρόνον, ἢ κατὰ ἀποκοπὴν τοῦ μινυνθάδιος δέ τοι αἰών· παιδευτικὸν δὲ τὸ μηδὲ τὸν ὀλίγον τῶν ἀνθρώπων βίον ἄλυπον εἶναι. ἔστι δὲ περίφρασις ὁ τρόπος, ὡς τὸ, ἐπεί με κατ' αἶσαν ἐνείκεσας, οὐδ' ὑπὲρ αἶσαν.

335. Vel adverbium eſt, ſignificans ad modicum tempus; vel nomen per apocopen τοῦ μινυνθάδιος δέ τοι αἰών. Ex eo porro diſcimus ne brevem quidem hominis vitam doloribus carere. Eſt autem in eo verſu tropus, qui periphraſis dicitur, ut ibi: *Hector quoniam merito me increpaſti, nec injuria*.

τλς'. Οἰζυρὸς) Εἰ τοιαῦτα περὶ Ἀχιλλέως ὁ ποιητὴς φησι, τί περὶ τῶν ἄλλων εἴποιμεν;

336. Si talia de Achille Poeta dicit, quid de aliis hominibus dicemus?

Ἔπλεο. τῷ σε κακῇ αἴσῃ τέκον ἐν μεγάροισι.
Τοῦτο δέ τοι ἐρέουσα ἔπος Διὶ τερπικεραύνῳ
Εἶμ' αὐτὴ πρὸς Ὄλυμπον ἀγάννιφον αἴκε πίθηται.
Ἀλλὰ σὺ μὲν νῦν νηυσὶ παρήμενος ὠκυπόροισι
Μήνι' Ἀχαιοῖσιν, πολέμου δ' ἀποπαύεο πάμπαν.
Ζεὺς γὰρ ἐπ' ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας
Χθιζὸς ἔβη μετὰ δαῖτα (Θεοὶ δ' ἅμα πάντες ἕποντο)
Δωδεκάτῃ δέ τοι αὖθις ἐλεύσεται οὔλυμπόν δε

Es: iccirco te malo fato peperi in ædibus,
Hoc autem dictura verbum Jovi gaudenti fulmine
Vadam ipſa in Olympum nivoſum, ſi forte flectatur
Sed tu quidem nunc navibus aſſidens velocibus
Indignare Achivis, & ..llo abſtine prorſus.
Jupiter enim in Oceanum ad inculpatos Æthiopas
Heſternus abiit ad convivium [Diique ſimul omnes ſecuti ſunt]
Duodecimo autem redibit in cælum:

τλζʹ. Τοῦτο δέ τοι ἐρέουσα ἔπος) Διὰ τὴν περίστασιν μὲν οὐκ ἀντιφράσει τῷ παιδὶ, καιρὸν δὲ μετανοίας αὐτῷ δίδωσι. τερπικεραύνῳ δὲ, τῷ τέρποντι τοῖς κεραυνοῖς, καθ' ὑπέρθεσιν.

337. Propter circumſtantias non adverſatur filio, ſed pænitendi tempus ei concedit. τερπικεραύνῳ autem dicitur, hoc eſt τῷ τέρποντι τοῖς κεραυνοῖς, *fulminibus gaudenti*, per tranſpoſitionem.

τλή. Ἀγάννιφον) 1 Τινὲς ἐπὶ τοῦ οὐρανοῦ

338. Quidam de Cælo illud intelli-

1. Τινὲς ἐπὶ τοῦ οὐρανοῦ] Horum opinioni adverſantur alii, qui tradunt eum locum de Olym-

Digitized by Google

νῦ τὸν ἄγαν νίφοντα· τὰ γὰρ ὄρη νιφόεντα καλεῖ, ὡς Τήλεφος. τὸ δὲ, ἄνκε πίθηται, διὰ τὸ ἄδικα μέλλειν αἰτεῖν.

τλθ'. Νῦν παρήμενος) Τὸ νῦν ἀντὶ τῦ δὴ· διὸ καὶ Τυραννίων ἠξίυ ὀξύνειν αὐτὸν ὐκ ἐυ. τῆς ὀργῆς δὲ αὐτὸν ὐκ ἐπέχει, ἐιδυῖα τὸ φιλόνεικον αὐτῦ, καὶ φιλότιμον. καλῶς δὲ λόγοις μὲν χαρίζεται αὐτῷ, ἔργοις δὲ ἀναβάλλεται.

τμ'. Μετ' ἀμύμονας Αἰθιοπῆας) 1. Ἡ μετὰ νῦν ἀντὶ τῆς ἐπὶ. ἔςι δὲ καὶ ἀντὶ τῆς ἐν· ςεροπὴν μετὰ χερσί. τὸ Αἰθιοπῆας ὅμοιόν ἐςι τῷ ἡνιοχῆας. ἐυσεβῶς δέ φησι μηδὲ τῶν πόῤῥωθεν ἀνθρώπων ἀμελεῖν τὸ Θεῖον. Διττοὶ δέ εἰσιν οἱ Αἰθίοπες, οἱ μὲν πρὸς ἀνατολὴν, οἱ δὲ πρὸς δύσιν, ὁριζόμενοι διχῆ ὑπὸ Νείλυ.

τμά. Χθιζὸς ἔβη) Ἐπιῤῥηματικῶς, ὡς καὶ τὸ σήμερος παρὰ τοῖς Ἀττικοῖς· τὸ δὲ πάντες συλληπτικὸν, ὡς τὸ, Ἀριςῆες παναχαιῶν. καὶ γὰρ Ἀθηνᾶ πρὸ ὀλίγυ ἐξ ὐρανῦ κατῆλθε, πεμφθεῖσα ὑπὸ Ἥρας.

τμβ'. Δωδεκάτῃ) Φασὶν ἐν Διοσπόλει μέγιςον εἶναι Διὸς ἱερὸν, ἀφ' ὗ λαμβάνοντας τὸ ξοάνον Αἰθίοπας μετὰ τῶν ἄλλων ἐγχωρίων Θεῶν κατά τινα χρό-

telligunt, quod valde ningit; ſiquidem montes alio epitheto νιφόεντα, *nivoſos* appellare ſolet, ut Telephus tradit. Illud vero, *ſi forte flectatur* ideo dicitur, quia erat injuſta petitura.

339. Vox νῦν pro δὴ hoc loco uſurpatur: quocirca Tyrannion acuendam eſſe cenſuit, ſed male. Ejus autem iram non cohibet, probe ſciens eum contentionis ſtudio teneri, & honoris cupiditate flagrare. Recte igitur verbis quidem ei indulget, re autem differt.

340. Hoc loco præpoſitio μετὰ ſumitur pro ἐπὶ, *ad*. interdum quoque eſt pro ἐν, *in*, cujus exemplum eſt ςεροπὴν μετὰ χερσὶ, *fulgur in manibus*. Illud Αἰθιοπῆας ſe habet ut ἡνιοχῆας. Pie vero adſerit Deum neque procul degentes deſerere. Duplicis porro ordinis ſunt Aethiopes, quorum alii orientalem plagam, alii occidentalem incolunt, bifariam a Nilo diviſi.

341. Adverbialiter ſumitur, ut & τὸ σήμερος, *hodiernus*, juxta Atticorum dialectum. Illud autem πάντες, *omnes* pro majori parte accipiendum, ut τὸ ἀριςῆες παναχαιῶν, quandoquidem paullo ante Minerva a Junone miſſa cælitus deſcendit.

342. Narrant in Dioſpoli eſſe Jovis templum maximum, unde Aethiopes Jovis ſculptum ſimulacrum accipientes una cum aliis indigenis Diis

po Cælo intelligi non poſſe, quippe quum cælum non obtegatur nive, neque nubibus, quum ſit ſupra nubes.

1. Ἡ μετὰ νῦν ἀντὶ τῆς ἐπὶ] Hinc Plutarchus lib. de fig. Hom. probat Homerum præpoſitiones mutare ſolere, & unam pro alia ſumere.

χρόνον περινοςεῖν τὰ μέρη τῆς Λιβύης, καὶ πολυτελεῖς ποιεῖν πανηγύρεις ἐπὶ δώδεκα ἡμέρας, ὅτι καὶ τοσοῦτοι οἱ Θεοί.

Diis certo quodam tempore Libyam circumire, & magnificos conventus per duodecim dies concelebrare, quod tot ſint apud ipſos Dii.

Καὶ τότ' ἔπειτά τοι εἶμι Διὸς ποτὶ χαλκοβατὲς δῶ,
Καί μιν γυνάσομαι, καί μιν πείσεσθαι ὀΐω.

Ὥς ἄρα φωνήσασ' ἀπεβήσατο· τὸν δ' ἔλιπ' αὐτοῦ
Χωόμενον κατὰ θυμὸν ἐϋζώνοιο γυναικὸς,

Τήν ῥα βίῃ ἀέκοντος ἀπηύρων· αὐτὰρ Ὀδυσσεὺς
Ἐς Χρύσην ἵκανεν, ἄγων ἱερὴν ἑκατόμβην.

Οἱ δ' ὅτε δὴ λιμένος πολυβενθέος ἐντὸς ἵκοντο,

Ἱςία μὲν ςείλαντο, θέσαν δ' ἐν νηὶ μελαίνῃ.

Et tunc poſtea vadam Jovis ad ære fundatam domum,
Et ejus genibus advolvar, & eum perſuaſum iri puto.
Sic locuta abiit: illum autem reliquit ibi
Iratum animo propter mulierem eleganter cinctam,
Quam vi ab invito abſtulerant. Verum Ulyſſes
In Chryſen pervenit, ducens ſacram hecatomben.
Qui poſtquam portum valde profundum intraverant,
Vela quidem legerunt, poſueruntque in navi nigra:

τμγ΄. Χαλκοβατὲς) Τὸ ςερεὰν ἔχον τὴν βάσιν· οὐκ ἄπεισι δὲ εἰς Αἰθιοπίαν ἡ Θέτις, ὅτι ἐκεῖ ἦσαν οἱ Ἀχαιικοὶ Θεοὶ, καὶ τῷ υἱῷ καιρὸν μετανοίας διδοῦσα, καὶ αὐτοῖς τοῖς Ἕλλησι· καὶ ἵνα Τρῶες αἴσθωνται τῆς μήνιδος, καὶ πλημήσωσι λοιπὸν εἰς τὴν μάχην.

343. Hoc eſt firmo ac ſtabili fundamento nixam. Non proficiſcitur autem ad Aethiopas Thetis, quia illic erant Achivorum Dii, & ut filio Græciſque omnibus pœnitentiæ tempus concederet, & ut Trojani Achillis iram intelligerent, & impoſterum ad pugnam audaci animo deſcenderent.

τμδ΄. Καί μιν) Ἀπιοῦσα ἐν χρηςῇ ἐλπίδι καταλιμπάνει τὸν παῖδα· ὅμοιον δέ ἐςι τῷ, αἴκε πίθηται.

344. Bona ſpe diſcedens, deſerit filium. Simile vero eſt ei: *ſi forte flectatur*.

τμέ. Ἀέκοντος ἀπηύρων) Ἐν τάξει ἀπολογίας τοῦτό φησιν, ὅτι οὐκ ἦν εὔλογον περὶ γυναίου θυμοῦσθαι αὐτόν· ἄλλως τε τὴν ἰδίαν ἀποφαίνει γνώμην ὁ ποιητὴς, ἠδικῆσθαι αὐτὸν ὁμολογῶν.

345. Ut Achillem quodammodo excuſaret hoc dicit; quia conveniens non erat eum propter mulierculam iraſci. Maxime vero ſuam patefacit ſententiam Poeta per hoc, quod eum injuria affectum fuiſſe fateatur.

τμς΄. Λιμένος πολυβενθέος) Ἤδη καὶ λιμένων ἐπεσημήνατο φύσεις μιᾷ λέξει ὁ ποιητής· διαφέρει δὲ λιμὴν ὅρμου· λιμὴν μὲν γάρ ἐςι τὸ πᾶν, ὅρμος δὲ τὸ πρὸς τὴν γῆν.

346. Uno verbo Poeta portuum naturam declaravit. Differt autem λιμὴν, *portus* ab ὅρμου, *ſtatione*; nam portus totum ſignificat, ſtatio autem eam duntaxat partem, quæ ad terram vergit.

Τὴν δ' ἰσοδόκῃ πέλασαν, προτόνοισιν ὑφέντες

Καρπαλίμως· τὴν δ' εἰς ὅρμον προέρυσσαν ἐρετμοῖς,
Ἐκ δ' εὐνὰς ἔβαλον, κατὰ δὲ πρυμνήσι' ἔδησαν·
Ἐκ δὲ καὶ αὐτοὶ βαῖνον ἐπὶ ῥηγμῖνι θαλάσσης·
Ἐκ δ' ἑκατόμβην βῆσαν ἑκηβόλῳ Ἀπόλλωνι.
Ἐκ δὲ Χρυσηῒς νηὸς βῆ ποντοπόροιο.

Τὴν μὲν ἔπειτ' ἐπὶ βωμὸν ἄγων πολύμητις Ὀδυσσεὺς
Πατρὶ φίλῳ ἐν χερσὶ τίθει, καί μιν προσέειπεν.

Malum autem receptaculo ejus admoverunt rudentibus demiſſum
Statim: & hanc in portum egerunt remis,
Anchoriſque jactis retinacula alligaverunt:
Verum & ipſi exierunt in littus maris:
Et hecatomben expoſuerunt longe jaculanti Apollini.
Sed & Chryſeis navi exivit pontigrada.
Hanc quidem poſtea ad altare ducens ſapiens Ulyſſes,
Patri caro in manus poſuit, & eum allocutus eſt,

τμζ. Ἰσοδόκῃ) Διὰ τοῦ κ γράφεται· ἔστι δὲ ἀπὸ δέχω, ὡς ξεινοδόκος, καὶ πανδοχεῖον. τὸ δὲ πέλασαν, πελασθῆναι ἐποίησαν, ὡς τὸ, πάντας μὲν ῥ' ἔλπει· καὶ ἔστιν ὁ τρόπος μετωνυμία.

347. Per κ ſcribitur, deſcenditque a δέχω, *accipio*, ex quo item ξεινοδόκος, & πανδοχεῖον, *hoſpitium*. Illud vero πέλασαν, pro πελασθῆναι ἐποίησαν, *appropinquare fecerunt*, ut ſe habet illud: *omnes ſperare jubet*, eſtque tropus, qui metonymia dicitur.

τμη. Ὑφέντες καρπαλίμως· τὴν δ' εἰς ὅρμον προέρυσσαν) Ζηνόδοτος μὲν ὑφέντες, αἱ δὲ ἄλλαι πᾶσαι ἐφέντες· πρότονα δὲ, τὰ ἀπὸ πρύμνης εἰς πρῷραν διήκοντα σχοινία· προερύσσι δὲ, ἐπεὶ μὴ τῶν ἀνέμων ᾔδεισαν τὸ παλίμβολον. ἄλλως τε ἐν Ἰλιάδι ταύτην μόνην ἔχων ἔκπλοιαν, τρόπον ἐδίδαξε προσορμισμοῦ. πολλὴν δὲ ἔχει ἡδονὴν ἡ τῆς προθέσεως ἐπαγωγή· τὸ δὲ σχῆμά ἐστιν ἐπανάληψις.

348. Zenodotus quidem ſcribit ὑφέντες, aliæ autem editiones omnes habent ἐφέντες, *demittentes*. πρότονα autem ſunt funes illi, qui a puppi ad proram pertingunt. In portum autem naves deduxerunt, quia ventorum mutabilitatem minime noverant. Alibi quoque in Iliade hanc eandem enavigationem deſcribens, docuit modum naves ad portum appellendi. Magnam porro oblectationem affert propoſitionis repetitio, eſtque figura ἐπανάληψις, *epanalepſis*.

τμθ'. Εὐνάς) Τὰ σίδηρα, παρὰ τὸ εὐνάζειν τὴν ναῦν χαλώμενα εἰς τὸ ὕδωρ, καὶ ποιεῖν ἵστασθαι. 1 Τρία δὲ σημαίνει ἡ λέξις παρὰ τῷ ποιητῇ. τὴν κοί-

349. Ea vox ſignificat ferreas anchoras, quæ ſic appellantur, quia navim in aquam demiſſæ quieſcere, & conſiſtere faciunt. Tria porro ſigni

N

1. Τρία δὲ σημαίνει ἡ λέξις) His tribus adde quartum, ortum ex primo, quod apud Poetam ſignificat vox εὐνὴ, nempe *concubitus*, ut Odyſſ. XI. v. 248. Τέξεις ἀγλαὰ τέκνα· ἐπεὶ οὐκ ἀποφώλιοι εὐναὶ ἀθανάτων.

Digitized by Google

κοίτην, ὡς ὅταν λέγῃ, εὐνῇ ἐνὶ μαλακῇ· τὴν ἄγκυραν, ὡς νῦν, ἐκ δ᾽ εὐνὰς ἔβαλον· καὶ τὴν διατριβὴν, ὡς τὸ, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς.

ſignificat apud Poetam vox εὐνή. cubile, ut quum dicit *in molli cubili*; anchoram, ut hoc loco, *anchoras ejecerunt*; & locum, in quo quiſpiam commoratur, ut ibi: ὅθι φασι Τυφωέος ἔμμεναι εὐνάς.

τν΄. Ῥηγμῖνι) Ἀλλαχοῦ ἡρμήνευκεν αὐτὸν, διὰ τοῦ, χέρσῳ ῥηγνύμενον μεγάλα βρέμεται· πάντα δὲ ἐν ὀλίγῳ πέφρασαι.

350. Alicubi eam vocem ipſemet Poeta interpretatur, per ea: χέρσῳ ῥηγνύμενον μεγάλα βρέμεται. Paucis autem omnia dicuntur.

τνά. Πολύμητις) Τὰ ἐπίθετα Ὀδυσσέως, δῖος Ὀδυσσεὺς, πολύμητις Ὀδυσσεύς· ὅτε δὲ ὁ καιρὸς τῆς σοφίας, Διὶ μῆτιν ἀτάλαντόν φησι. προσάγει δὲ τὴν κόρην τῷ βωμῷ, ὥσπερ ἀποδιδοὺς ἐπὶ Θεοῦ μάρτυρος· ἡ δὲ ἐπὶ ἐστὶ ἀντὶ τῆς παρὰ.

351. Ulyſſis epitheta *divinus Ulyſſes*, *prudens Ulyſſes*; quum vero de ejus ſapientia diſſerendi occaſio incidit, *Jovi conſilio parem* appellat. Adducit autem ad altare puellam, ut quodammodo ipſomet Deo teſte eam redderet. Propoſitio autem ἐπὶ eſt pro παρά.

τνβ΄. Χερσὶ τίθει) Οὐ μόνον τὸ τίθημι κέκλιται, ἀλλ᾽ ἔστι καὶ περισπώμενον, καὶ ὅτι οὐκ ἐπὶ μόνων τῶν ἀψύχων τὸ τιθέναι.

252. Verbum τίθημι non ſolum ad normam verborum in mi declinatur, ſed etiam circumflectitur. Præterea non de ſolis inanimatis verbum τιθέναι uſurpatur.

Ὦ Χρύση, πρό μ᾽ ἔπεμψεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Παῖδά τε σοὶ ἀγέμεν, Φοίβῳ θ᾽ ἱερὴν ἑκατόμβην
Ῥέξαι ὑπὲρ Δαναῶν, ὄφρ᾽ ἱλασσόμεθ᾽ ἄνακτα,
Ὃς νῦν Ἀργείοισι πολύστονα κήδε᾽ ἐφῆκεν.
Ὣς εἰπὼν, ἐν χερσὶ τίθει· ὁ δ᾽ ἐδέξατο χαίρων
Παῖδα φίλην· τοὶ δ᾽ ὦκα Θεῷ κλειτὴν ἑκατόμβην
Ἑξείης ἔστησαν ἐΰδμητον περὶ βωμόν.
Χερνίψαντο δ᾽ ἔπειτα, καὶ οὐλοχύτας ἀνέλοντο.

O Chryſe, miſit me rex virorum Agamemnon,
Filiamque tibi ut ducerem, Phœboque ſacram hecatomben
Sacrificarem pro Danais, ut placaremus Apollinem,
Qui modo Argivis acerbiſſimos dolores immiſit.
Sic locutus, in manus poſuit. Ille autem accepit gaudens
Filiam ſuam: illique ſtatim Deo ſplendidam hecatomben
Ordine ſtatuerunt rite ædificatum circa altare.
Et manus deinde lavarunt, & molas ſumſerunt.

τνγ. Ἔπεμψεν) Τὴν εἰς τοὔμπροσθεν δηλοῖ σχέσιν οὐ χρονικήν. αὐτὰ δὲ τὰ ἀναγκαῖα συλλαβὼν, λέγει ἁπλῶς· πάρεργον γὰρ οὐδὲν ἐπὶ Θεοῦ. τὸ δὲ σοὶ ὡς

353. Actum progrediendi, non temporis habitum ea denotant. Res autem neceſſarias complexus, ſimpliciter narrat; nihil enim fictum, ac frau-

ὡς ἀντιδιεσταλμένον τῷ Φοίβῳ, δεῖ ὀρθοτονεῖν, καὶ διὰ τὸν τε.

τνδʹ. Ῥέξαι) [1] Σφάξαι μόνον, τὸ δὲ θῦσαι ἐπὶ τοῦ θυσιάσαι μόνον, ὥς φησι· τὸ δὲ ἱλασσώμεθα, πλεονασμῷ τοῦ σίγμα.

τνέ. Ὅς νῦν) Ἐμφρόνως τὸ μὴ ἐπὶ Χρύσου εὐξαμένου ὁ λοιμὸς ἐπηνέχθη, ἵνα μὴ διατρέψῃ τὸν γέροντα, ὡς κακῶν αἴτιον· καίτοι Ἀχιλλεύς φησι, τοῦ δ' Ἀπόλλων εὐξαμένου ἤκουσεν.

τνϛʹ. Ὦκα Θεῷ) Παρέλιπε τὸν λόγον τοῦ γέροντος· οὔτε γὰρ ἐπαινεῖν, οὔτε ψέγειν ἦν τοὺς ἀποδόντας· τὸ μὲν γὰρ δουλοπρεπὲς, τὸ δὲ παροξυντικόν· [2] ἀλλ' οὐδὲ τοσαύτην κίνησιν ἔχει τὰ ἡδέα λεγόμενα, ὅσην τὰ λυπηρά.

τνζʹ. Ἐξείης) Οἶμαι τὴν ει πεπλεονακέναι, ὡς ἐν τῷ ἀδελφειός· ἐΰδμητον δὲ, ἐκ τοῦ δέμω, δμῶ, δμήσω, δέδμηται, δμητὸς, ἔυδμητος, ὡς εὔδμητος.

τνή. Χερνίψαντο δ' ἔπειτα, καὶ οὐλοχύτας ἀνέλοντο) Δεῖ προσιόντα Θεῷ κατὰ τὸ δυνατὸν εἰκάζειν αὐτὸν Θεῷ. διατί δὲ μετὰ τὸ δεῖπνον οὐ ποιεῖ τοὺς ἀνθρώπους ἀπονίπτοντας τὰς χεῖρας; ὅτι οὐδὲ

fraudulentum coram Deo locum habere poteſt. Illud autem σοὶ, *tibi* recto tono proferri debet, tum quia voci Φοίβῳ opponitur ac reſpondet, tum etiam quia particula τε præcedit.

354. Jugulare duntaxat ea vox ſignificat; illud autem θῦσαι pro θυσιάσαι, *ſacrificare*, apud Poetam uſurpatur, & τὸ ἱλασσώμεθα per pleonaſmum unius ſigma dicitur.

355. Prudenti ſane ratione non dixit Ulyſſes Apollinem ad Chryſæ preces peſtem miſiſſe, ne ſenem, (quem alloquebatur) tanquam malorum cauſſam pudore injecto perturbaret; quamvis Achilles dicat, *hunc autem Apollo exaudivit*.

356. Omiſit ſermonem ſenis; neque enim laudare, neque vituperare reddentes puellam licebat. Illud enim ſervile erat, hoc ad iram provocabat. Sed neque tantam commotionem habent quæ jucunda dicuntur, quantam quæ moleſta ſunt.

357. Arbitror diphthongum ει in ea voce redundare, ut in ἀδελφειός. ἐΰδμητον vero dicitur a δέμω, *ædifico*, δμῶ, δμήσω, δέδμηται, δμητός, ἐΰδμητος, ut εὔδμητος, quod per reſolutionem diphthongi factum eſt.

358. Oportet accedentem ad Deum quoad fieri poteſt ſemetipſum Deo adſimilare. Cur autem poſt cœnam homines abluentes manus non inducit? quia videlicet non veſcebantur hu-

1. Σφάξαι μόνον) Non agnoſcit hanc diſtinctionem Suidas, apud quem ῥέξαι, ποιῆσαι, πρᾶξαι, Ἀθηναῖοι δὲ θῦσαι, & Photius in Lexico inedito habet, ῥέξαι, θυσιάσαι κ. τ. λ.
2. Ἀλλ' οὐδὲ τοσαύτην κίνησιν) Tacite ſibi proponit Interpres hanc quæſtionem, cur ſenex in reſtitutione filiæ nihil loquatur, bene autem locutus & imprecatus ſit Græcis, quum puel-

Digitised by Google

ὐδὲ ὄψοις πιόσιν ἐχρῶντο, ὥστε δεῖσθαι ἀπονίψεως, καὶ ὅτι παυόμενοι τοῦ δείπνου, ἔσπενδον, μετὰ δὲ τὰς σπονδὰς οὐ δεῖ νίπτεσθαι. ῥητέον δὲ καὶ τοῦτο. ὅταν γὰρ λέγῃ, [1] χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα, νίψασθαι φήσομεν, ἀλλ' οὐχὶ πρὸ τοῦ δείπνου μόνον· ἁπλῶς γὰρ τὰς ἀρχὰς μηνύσας, οὐκ ἐπὶ τὰ κατὰ μέρος διέξεισιν· ὡς τε παρέκειντο τὰ χειρόνιπτρα, ὅτε βούλοιντο νίπτεσθαι. καὶ γὰρ καὶ ἡ τράπεζα, καὶ τὰ ἄλλα, ἄχρις ὅτου βούλοιντο χρῆσθαι αὐτοῖς παρέκειτο· οὕτω καὶ τοὺς Πυλίους ἐν τῷ κατάπλῳ Τηλεμάχου εὐωχουμένους, οὐκέτι δεδήλωκεν ὅπως τῆς ἠϊόνος ἀπηλλάγησαν· καὶ τὴν Ἀθηνᾶν [2] Μέντῃ ὁμοιωθεῖσαν, καὶ τὸ δόρυ δοῦσαν τῷ Τηλεμάχῳ, οὐκέτι φησὶ πῶς τοῦτο. ἀντέλαβε, καὶ τὸ τόξον εἰς κατασκοπὴν ἀπιόντι Μηριόνης δίδωσιν Ὀδυσσεῖ, ὅπως δὲ τοῦτο ἀπέδωκεν, οὐκέτι ἐπεσημήνατο, διδοὺς τοῖς ἀκροαταῖς καθ' ἑαυτοὺς λογίζεσθαι τὰ ἀκόλουθα· καὶ πολλὰ τοιαῦτά ἐστι γνῶναι παρ' αὐτῷ· οὐ γὰρ μόνον τί εἴπῃ, ἀλλὰ καὶ τί μὴ εἴπῃ ἐφρόντισεν.

τνθ'. Οὐλοχύτας) Οὐλοχύτας τινὲς τὰ κανᾶ, δι' ὧν ἐπεῖχον [3] τὰς οὐλὰς, αἱ πρὸς ἀντιδιαστολὴν εἴρηνται τῶν ψαιστῶν· ἀπαρ-

hujuſmodi cibis, qui manuum ablutione indigerent; deinde quia poſt cœnam libare conſueverunt, poſt libationes autem non oportet manus abluere. Illud præterea notandum, quum dicit, *aquam vero ancilla ex gutto infundebat ferens*, tum lotas quidem manus fuiſſe concedemus, ſed non ante cœnam duntaxat; quum enim initia ſimpliciter attingat, ad particularia non deſcendit. Itaque malluvia apponebantur, ut abluerent manus quum vellent; etenim menſa quoque & alia quo uſque eis uti volebant præſto erant. Eodem pacto & Pylios in Telemachi appulſu epulantes inducit, quomodo autem a littore diſceſſerint, id ſilet. Minervam quoque Mentæ adſimilatam, & enſem Telemacho exibentem effingit, nec ulterius exponit quomodo id illa fecerit. Meriones item apprehendit arcum, eumque ad explorandum proficiſcenti Ulyſſi præbuit; modum autem, quo id fecerit, ſilentio præterit, ut auditores reliqua ipſi conjiciant. Et alia id genus benemulta apud Poetam exempla reperire licet; non ſolum enim quid dicendum, ſed etiam quid prætereundum conſideravit.

359. Quidam οὐλοχύτας interpretantur caniſtra, in quibus τὰς οὐλὰς, *molas* (h. e. hordeum ſale conſperſum)

lam ereptam reddere recuſarunt? Cui quæſtioni occurrit hac ratione, quia, inquit, non tantum commotionis ineſt in gaudio, quantum in triſtitia. Alii aliam aſſignant rationem, quia inquiunt, fortaſſe gaudium facultatem loquendi ei eripuit.

1. Χέρνιβα) Odyſſ. I. v. 136.
2. Μέντῃ ὁμοιωθεῖσαν) Odyſſ. I. v. 105. Εἰδομένη ξείνῳ Ταφίων ἡγήτορι Μέντῃ.
3. Τὰς οὐλὰς) Quum deerant οὐλαὶ, hoc eſt hordeum ſale conſperſum, pro hordeo quercus folia projiciebant, ut alicubi ex Odyſſea deprehenditur.

Digitized by Google

ἀπαρχὴ δὲ τῆς προτέρας ζωῆς ἀπεδίδοντο τοῖς θεοῖς αἱ κριθαί· πρὸ τῶν πυρῶν γὰρ εὕρηνται, καὶ ἀπὸ τοῦ προκριθῆναι τῶν βαλάνων, οὕτως ὠνομάσθησαν.

ſum) reponebant, quæ οὐλαὶ ad differentiam ψαιστῶν dictæ ſunt. Primitiæ porro prioris vitæ hordea Diis offerebantur; ſiquidem ante triticum hordea inventa ſunt, & ex eo κριθαὶ denominata ſunt, quod glandibus προεκρίθησαν, *præpoſita fuerunt*.

Τοῖσιν δὲ Χρύσης μεγάλ᾽ εὔχετο χεῖρας ἀνασχών,
Κλῦθί μευ ἀργυρότοξ᾽, ὃς Χρύσην ἀμφιβέβηκας,
Κίλλαν τε ζαθέην, Τενέδοιό τε ἶφι ἀνάσσεις.
Ἤδη μέν ποτ᾽ ἐμεῦ πάρος ἔκλυες εὐξαμένοιο,
Τίμησας μὲν ἐμὲ, μέγα δ᾽ ἴψαο λαὸν Ἀχαιῶν.
Ἠδ᾽ ἔτι καὶ νῦν μοι τόδ᾽ ἐπικρήηνον ἐέλδωρ,
Ἤδη νῦν Δαναοῖσιν ἀεικέα λοιγὸν ἄμυνον.
Ὣς ἔφατ᾽ εὐχόμενος. τοῦ δ᾽ ἔκλυε Φοῖβος Ἀπόλλων.
Αὐτὰρ ἐπεί ῥ᾽ εὔξαντο, καὶ οὐλοχύτας προβάλοντο,
Αὐέρυσαν μὲν πρῶτα, καὶ ἔσφαξαν, καὶ ἔδειραν,

Inter eos autem Chryſes alta voce precabatur, manibus ſublatis,
Audi me Apollo, qui Chryſen tueris,
Cillamque mirandam, Tenedoque potenter imperas
Jam qnidem aliquando me antea exaudiſti precantem,
Et honoraſti me, multumque læſiſti populum Achivorum;
Item & nunc mihi hoc perfice votum,
Jam nunc a Danais indignam peſtem remove.
Sic dixit orans: cumque exaudivit Phœbus Apollo.
Cæterum poſtquam precati fuerunt, & molas projecerunt,
Cervicem retro egerunt primum, & jugularunt, & pellem detraxerunt,

τξʹ. Μεγάλ᾽ εὔχετο) Μεγάλως ἀνασχὼν τὰς χεῖρας. ἐπὶ σωτηρίᾳ γὰρ εὐχόμενος, παῤῥησίαν ἄγει, ὅτε δὲ καταρᾶται, ἡσυχῇ ηὔχετο.

τξαʹ. Μέν ποτ᾽ ἐμεῦ) Ἐλεύθερον, καὶ προσακτικὸν τὸ χάριτας εἰδέναι· φησὶν οὖν, εἰ προήκουσάς μου, καὶ νῦν δίκαιος εἶ ἀκοῦσαι.

τξβʹ. Ἴψαο λαόν) Ὅτι κατὰ τὴν Πατρόκλου ἔξοδον, οὐκ ὀρθῶς μετηνέχθη ἐντεῦθεν· οὐ γὰρ εἰκότως Ἀχιλλεὺς ἐπιχαίρει τῇ ἥττῃ τῶν Ἑλλήνων· ὁ δὲ Χρύσης βάρβαρος, καὶ μισέλλην.

τξγʹ. Ἔκλυε) Δεξικὸν, καὶ παιδευτικὸν τὸ παραχρῆμα μετατίθεσθαι εἰς ἔλεον

360. Alta voce, & elatis manibus precabatur. Quum enim orat ut Græci ſalvi & incolumes ſerventur, palam id facit; contra quum eis imprecatur, clam id agit.

361. Liberale eſt, & benevolentiam captat gratias habere ei, qui beneficium contulit. Ait igitur. *ſi antehac me exaudiſti, nunc quoque me audire debes.*

362. Quia in Patrocli exitu non recte illinc translatus eſt. Non enim juſtis de cauſſis Achilles Græcorum clade gaudet. Chryſes autem barbarus, & Græcorum inimicus erat.

363. Ingenioſum eſt, & nos erudit illud, quo fingitur Deus ſtatim ad

Digitized by Google

ἔλεον τὸν Θεόν.

τξδʹ. Προβάλοντο) Προεβάλοντο εἰς τὸν βωμόν. ἔςι δὲ τὸ χῆμα ὁμοιοτέλευτον.

τξεʹ. Α᾽υέρυσαν) Τὸ αὐτὸ πάλιν δηλεῖ. Κυμαίων δὲ ἔθος τὸ αὐερύειν, αἰτούντων τὸν Θεὸν ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω αὐτὸς ἕλκειν. τηρεῖ δὲ τὰ ἑλληνικά.

Μηρούς τ᾽ ἐξέταμον, κατά τε κνίσση ἐκάλυψαν.
Δίπτυχα ποιήσαντες, ἐπ᾽ αὐτῶν δ᾽ ὠμοθέτησαν.
Καῖε δ᾽ ἐπὶ σχίζῃς ὁ γέρων, ἐπὶ δ᾽ αἴθοπα οἶνον
Λεῖβε· νέοι δὲ παρ᾽ αὐτὸν ἔχον πεμπώβολα χερσίν.
Αὐτὰρ ἐπεὶ [1] κατὰ μῆρ᾽ ἐκάη, καὶ σπλάγχν᾽ ἐπάσαντο
Μίςυλλόν τ᾽ ἄρα τἆλλα, καὶ ἀμφ᾽ ὀβελοῖσιν ἔπειραν,

τξςʹ. Μηρούς τ᾽ ἐξέταμον) Ἐπεὶ ςάσεως αἴτια μᾶλλον τῶν ἄλλων ὀςῶν· τὸ δὲ λίπος, ὡς λαμπρὸν, ἢ διὰ τὸ καίεσθαι δι᾽ αὐτοῦ τὰ μηρία.

τξζʹ. Δίπτυχα) Ὡς ὑπόβρυχα, ὧν τῷ μὲν ἑνὶ ἐπετίθετο ὁ μηρὸς, τῷ ἑτέρῳ δὲ τὰ ἄκρα·

τξηʹ. Ὠμοθέτησαν) Ἀλλαχοῦ ἡρμήνευσε τί ἐςι τὸ ὠμοθέτησαν· [2] ὣδ᾽ ὠμοθέτει συβώτης πάντοθεν ἀρχόμενος μελέων εἰς πίονα δημόν.

τξθʹ. Πεμπώβολα) Διὰ τὸ μὴ συμπεσεῖν τῷ πεντώβολα· [3] καὶ τοὺς ἄλλους τρισὶν ὀβελοῖς πείρειν, Κυμαίους δὲ πέντε φασίν.

τό.

ad miſericordiam flecti.

364. Projecerunt in altare; eſt autem in oratione figura ὁμοιοτέλευτον, *ſimiliter deſinens*.

365. Idem rurſus oſtendit. Cumæorum vero mos eſt victimas ſurſum trahere, qui Deum precantur, ut ipſos ab inferis ad ſupera trahat. Obſervat autem mores græcos.

Femoraque execuerunt, adipeque cooperuerunt,
Duplicata, & ipſis fruſta cruda impoſuerunt,
Adolebat autem in lignis fiſſis ſenex, & inſuper generoſum vinum
Libabat: juveneſque ſecus illum tenebant quinquefidum veru quiſque manibus,
Sed poſtquam femora exuſta fuerant, & viſcera guſtarant,
Minutatim ſecuerunt cætera, & verubus transfixerunt,

366. Quoniam femora magis quam alia oſſa conſiſtere faciunt. Adeps autem imponebatur, vel quia ſplendidus erat, vel quia per ipſum femora comburebantur.

367. Adverbium eſt, inſtar τοῦ ὑπόβρυχα. quorum alteri femur, alteri extremitates. imponebantur

368. Alicubi expoſuit quid ſit τὸ ὠμοθέτησαν, quum ait: *cruda membratim ſubulcus ad pingue uſque ponebat.*

369. πεμπώβολα dicuntur ne convenirent, & confunderentur cum πεντώβολα, *quinque oboli*. Ajunt autem Cumæos quinque verubus, alios autem tribus aſſandas carnes trajicere.

370.

1. Κατὰ μῆρ᾽ ἐκάη) Propoſitio κατὰ hoc loco ſine accentu ſcribitur, quod in aliis quoque propoſitionibus, quæ per tmeſin a verbo ſeparantur, perpetuo in Codice noſtro ſervatur.
2. Ὣδ᾽ ὠμοθέτει) Odyſſ. XIV. v. 427. 428. Αἶψα δέ μιν διέχευαν· ὁ δ᾽ ὠμοθετεῖτο συβώτης, Πάντοθεν ἀρχόμενος μελέων, ἐς πίονα δημόν.
3. Καὶ τοὺς ἄλλους τρισὶν ὀβελοῖς πείρειν] Eadem ex veteribus habet Euſtathius. Φασὶ δὲ πα-

τό Κατὰ μῆρ᾽ ἐκάη) Ἀπὸ τῦ μηρία συνεκόπη, καὶ ἐγένετο μηρᾶ, καὶ κατὰ ἀποκοπὴν μῆρ᾽· δηλοῖ δὲ τὰ ἐναγίσματα τῶν Θεῶν· [1] ἰακῶς δὲ τὸ πάσαντο προσεκτέον· σπλάγχνα δὲ, ἀντὶ τῦ τῶν σπλαγχνων, ὅ ἐςι τῶν ἐνδοθιδίων, ἥπατος, νεφρῶν, καὶ τῶν ἑξῆς· τύτων δὲ πάντων ἀπεγέυοντο, ἀπὸ σπλάγχνων, καὶ ψυχικῆς σπυδῆς διδόντες τὰς θυσίας.

370. A μηρία per ſyncopen factum eſt μηρᾶ, & per apocopen μῆρ. Oſtendit autem libamina Deorum. Jonice vero πάσαντο proferendum eſt; σπλάγχνα autem nom. caſ. dicitur, pro genit. σπλάγχνων, hoc eſt interiorum, jecuris, renum, & quæ ſequuntur. Hæc porro omnia deguſtabant, ex ipſis viſceribus, & intimo animi ſtudio victimas offerentes.

τοα. Ἐπάσαντο) Ἔςι μὲν ἀόριςος α. τὸ θέμα πατῶ, ὃ σημαίνει τὸ ἐσθίω, ὁ μέλλων πατήσω, καὶ κατὰ συγκοπὴν πάσω· ἐντεῦθεν γέγονε καὶ φάτνη, ὁ τόπος, ἐν ᾧ ἐσθίυσι τὰ ἄλογα· [2] τὸ δὲ πατῶ, ὃ σημαίνει τὸ ἐσθίω, γίνεται παρὰ τὸ μάσσω, τὸ μαλάσσω· ὅθεν καὶ πάσσασθαι, παρὰ τὸ μασσᾶσθαι, τροπῇ τῦ μ εἰς π, καὶ ἀναδρομῇ τῦ τόνυ πάσσασθαι.

371. Eſt aoriſtus primus, cujus thema eſt πατῶ, quod ſignificat comedo; futurum πατήσω, & per ſyncopen πάσω. Hinc deſcendit & φάτνη, locus, in quo comedunt animalia rationis expertia. Verbum porro πατῶ, quod comedo ſignificat, fit a μάσσω, quod ſonat mollio. Quocirca & πάσσαθαι dicitur a μασσᾶθαι, verſo μ. in π. & accentu in præcedentem ſyllabam rejecto.

τοβ'. Μίςυλλον) Παρὰ τὸ μεῖον μείως ἔτιλλον, καὶ κατὰ συγκοπὴν μίςυλλον· ὐκ ἔχει δὲ τὸ ε. ὡς ὐδὲ τὸ μικρῶς, παρὰ τὸ μεῖον ὄν· τὸ δὲ τἄλλα κατὰ συναλοιφήν ἐςιν, ὡς τἄργα· ὁ δὲ Ἡρωδιανὸς τὸν τε παραπληρωματικὸν ἀποδέχεται, καὶ λείπει τὸ ἄρθρον Ὁμηρικῷ ἔθει.

372. A μεῖον, *minus* μείως ἔτιλλον, *minutatim ſecuerunt*, & per ſyncopen μίςυλλον. non retinet autem epſilon, quemadmodum neque illud retinet vox μικρῶς, quæ ab eodem μεῖον deſcendit. Illud vero τἄλλα fit per ſynalœphen, inſtar illius τἄργα. Herodianus autem particulam τε expletivam in ea voce admittit, homerico more, articulo deficiente.

Ὤπ- *Aſſa-*

λαιοὶ, ὡς οἱ μὲν ἄλλοι τρισὶν ἔπειρον ὀβελοῖς, ἃ λέγοιτο ἂν τριώβολα. μόνοι δὲ οἱ Κυμαῖοι, Αἰολικὸν δὲ ὄντες ἔθνος, πεμπωβόλοις ἐχρῶντο. Ex hoc Homeri loco probare nititur Herodotus in vita Hom. Poetam Æolicum eſſe.

1. Ἰακῶς δὲ τὸ πάσαντο] Si ita legatur, metri ratio poſtulat ut præcedens nomen integrum proferatur, hoc modo σπλάγχνα πάσαντο, contra editiones, quæ habent σπλάγχ᾽ ἐπάσαντο.

2. Τὸ δὲ πατῶ, ὃ σημαίνει τὸ ἐσθίω, γίνεται παρὰ τὸ μάσσω) Hæc apud Etymologum deſunt.

Digitized by Google

Ω'πτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
Α'υτὰρ ἐπεὶ παύσαντο πόνε, τετύκοντό τε δαῖτα,

Δαίνυντ'· ἐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐίσης.

Α'υτὰρ ἐπεὶ πόσιος, ϗ ἐδητύος ἐξ ἔρον ἕντο,

Κῦροι μὲν κρητῆρας ἐπεςέψαντο ποτοῖο.
Νώμησαν δ' ἄρα πᾶσιν, ἐπαρξάμενοι δεπάεσσιν.

Ο'ι δὲ πανημέριοι μολπῇ Θεὸν ἱλάσκοντο,
Καλὸν ἀείδοντες παιήονα κῦροι Α'χαιῶν,

Aſſaruntque ſcite, detraxeruntque omnia :
Cæterum ubi ceſſarunt ab opere, appararuntque convivium,
Epulabantur : neque quicquam animus indiguit cibo æquali.
Sed poſtquam potus & cibi deſiderium exemerunt,
Pueri quidem crateras coronaverunt vino;
Diſtribueruntque omnibus, qui poculis libabant auſpicantes.
Et illi totum diem cantu deum placabant,
Lætum canentes pæana juvenes Achivorum,

τογ'. Περιφραδέως) Ε'μπειρίας γὰρ δεῖ τοῖς ὀπτῶσι, ϗ ὀπτᾶν εἴρηται διὰ τὸ πυκνότερον ἐποπτεύειν τὸν ὀπτῶντα.

τοδ' Πόνε) Τῦ τῆς ἱερυργίας πόνε, ἤτοι ἐνεργείας· ἐδέποτε γὰρ πόνον τὴν ἀλγηδόνα φησὶν ὁ ποιητής· ἐνίοτε δὲ ϗ τὴν ταλαιπωρίαν δηλοῖ, ἢ μὴν ϗ πόνος ἐςί· νῦν δὲ τὴν περὶ τὴν ἱεροποιΐαν σπυδήν.

τοέ. Τετύκοντό τε) Τέυχω, ἔτυχον, ἐτυχόμην, ἐτύχοντο· ποιητικὸς, ἢ Ι'ωνικὸς διπλασιασμὸς οἰκεῖος τοῖς δύο ἀορίςοις μετὰ τροπῆς, ϗ γίνεται τετύκοντο, ὥσπερ ἀπὸ χάζω κεκάδοντο.

τος'. Δαιτὸς ἐίσης) Τῆς ἴσως πᾶσιν ἐπιγινομένης διὰ τὸν ἔρωτα, ἢ τῆς μεριζομένης· ἐπεὶ κἀν τοῖς ἐυτελέσι τὴν ἰσότητα ἐτήρυν· δαιτρὸν γάρ φησι πίνυσι.

τοζ'. Ε'ξ ἔρον ἕντο) Τὸ μὲν ἔρος ὡς αἰολικὸν ψιλωτέον, ἢ καθὸ τὸ ε ϗ α. πρὸ τῦ ρ, φωνήεντος ἐπιφερομένυ, ψιλῦται. τὸ δὲ ἕντο δασυντέον· ἐςὶ γὰρ ἀπὸ ἵημι, ϗ ὁ β' ἀόριςος ἧν, ϗ ἧς, μετο-

373.. Peritia enim aſſantibus opus eſt, & ὀπτᾶν dicitur ex eo, quod frequenter aſſantes carnes inſpiciant.

374. Ab eo nempe labore, qui ex ſacra functione, vel actione manabat; nunquam enim Poeta dolorem πόνον appellat. Interdum autem illud nomen ærumnam ſignificat, ut ibi; ἢ μὴν καὶ πόνος ἐςί. Hoc autem loco ſignificat ſtudium, quod in ſacris peragendis impendebant.

375. Thema τεύχω, ex quo ἔτυχον, ἐτυχόμην, ἐτύχοντο. Per poeticam vero, vel Jonicam reduplicationem, duobus aoriſtis propriam, verſa aſpirata in tenuem, fit τετύκοντο, quemadmodum a χάζω fit κεκάδοντο.

376. Cujus æquali omnes deſiderio tenebantur, vel quæ æqualiter dividebatur; quandoquidem in tenuibus etiam æqualitatem ſervabant, ut patet ex eo : *ſemiplenum bibunt*.

377. Vox ἔρος vel tanquam Æolica ſpiritu leni notanda eſt, vel quia epſilon & alpha ante ρ. ſequente vocali, tenuantur. Vox vero ἕντο aſpiranda; deſcendit enim ab ἵημι, cujus

ἡ μετοχὴ, καὶ ἀφεὶς· τὸ παθητικὸν ἕμαι ἕμην, ἕσο, ἕτο, ἕντο· ταῦτα δὲ καὶ πλεονάζουσι τὸ ι. ἀστικὸν δὲ τὸ μὴ φάναι ὅτι μέχρι κόρου ἤσθιον· τοῦτο γὰρ δουλοπρεπὲς, ὡς ἐπὶ Εὐμαίου, 1 πλησάμενος δ' ἄρα θυμὸν ἐδητύος ἠδὲ ποτῆτος, βῆ ῥ' ἴμεναι μεθ' ὕας. 2 λέγουσι δὲ τὸ μὲν ἔρος ἐπὶ πάντων λέγεσθαι, τὸ δὲ ἔρως ἐπὶ μόνων ἀφροδισίων.

τοη'. Κοῦροι) Ἀρχαῖον ἔθος οἰνοχοεῖν τοὺς νέους· οἰνοχοεῖ δὲ υἱὸς Μενελάου· 3 ἐπὶ δ' ἀνέρες ἐσθλοὶ ὄρωντο οἶνον οἰνοχοοῦντες· 4 Διὸ καὶ παῖδας μέχρι νῦν τοὺς δούλους φαμὲν, καὶ Γανυμήδης, καὶ Ἥβη ὑπηρέται Θεῶν.

τοθ'. Ἐπεστέψαντο) 5 Ὑπὲρ τὸ χεῖλος ἐπλήρωσαν, ὡς δοκεῖν ἐστέφθαι τῷ ὑγρῷ. κρητῆρας γὰρ ἐπιστεφέας οἴνοιο δεδώκασι.

τπ'. Ἐπαρξάμενοι δεπάεσσι) Ἐπαρξάμενοι δὲ, ἐπιχέοντες. ὁ δὲ νοῦς οὕτως, τῇ οἰνοχόῃ ἐπιχέοντες, τῶν ποτηρίων διέδωκαν πᾶσιν, ἢ ἀπαρξάμενοι σπονδὴν τοῖς Θεοῖς, πᾶσιν ἐνώμησαν· νέμω δὲ νωμῶ, ὡς τρέχω τροχῶ· τὸ δὲ

cujus aoriſtus ἧν, & participium εἷς & ἀφεὶς. paſſivum ἕμαι, ἕμην, ἕσο, ἕτο, ἕντο, quæ & pleonaſmum literæ jota admittunt. Urbanum vero illud eſt reticere eos ad ſatietatem uſque comediſſe; hoc enim ſervile eſt, quemadmodum de Eumæo dicitur, *impletus autem animum cibo, & potu profectus eſt ad ſues*. Ajunt autem τὸ ἔρος prædicari de omni deſiderio, illud vero ἔρως de amore duntaxat venereo.

378. Vetuſtus mos eſt, quo juvenes vinum miniſtrabant. Id vero facit Menelai filius, *deinde viri præſtantes ſurgebant*, *vinum infundentes*. Quamobrem ad hæc uſque tempora etiam ſervos pueros appellamus. Et Ganymedes & Hebe miniſtri Deorum ſunt.

379. Supra labrum impleverunt, adeo ut fluido vino crateres coronari viderentur, *crateras enim vino coronatas dederunt*.

380. Illud ἐπαρξάμενοι ſonat ἐπιχέοντες, *infundentes*. Senſus ergo eſt: trulla vinum effundentes, pocula omnibus communicarunt. Vel quum Diis libare ceperint, omnibus ſubinde pocula diſtribuerunt. A νέμω autem fit

O

1. Πλησάμενος δ' ἄρα θυμὸν] Odyſſ. XVII. v. 603. Πλησάμενος δ' ἄρα θυμὸν ἐδητύος ἠδὲ ποτῆτος. Βῆ ῥ' ἴμεναι μεθ' ὕας. λίπε δ' ἕρκεά τε μέγαρόν τε.

2. Λέγουσι δὲ τὸ μὲν ἔρος ἐπὶ πάντων) Horum opinio nullo nixa fundamento corruit; ſiquidem vox ἔρος de venereis quoque uſurpatur apud Homerum Θεᾶς ἔρος, οὐδὲ γυναικὸς, & ἔρως de appetitu bonorum apud Platonem in Convivio ſumitur, deque appetitu immortalitatis.

3. Ἐπὶ δ' ἀνέρες ἐσθλοὶ] Odyſſ. III. v. 471. ἐπὶ δ' ἀνέρες ἐσθλοὶ ὄροντο Οἶνον οἰνοχοεῦντες ἐνὶ χρυσέοις δεπάεσσι.

4. Vetuſtiſſimus mos eſt appellandi ſervos pueros, cujus exempla ſæpe occurrunt in ſacris lit. & apud Ariſtophanem νεφ. ἅπτε, παῖ, λύχνον, *accende*, *puer*, *lucernam*, & apud Latinos paſſim.

5. Ὑπὲρ τὸ χεῖλος ἐπλήρωσαν) Hæc interpretatio fulcitur auctoritate Athenæi lib. 1. p. 13.

Digitized by Google

δὲ διπάεσσι, πλεονασμῷ τοῦ ε. ὡς πλέεσσι πλεόνεσσι.

τπά. Παννμέριοι) Πᾶν τὸ λοιπὸν τῆς ἡμέρας εἰς τὴν ᾠδὴν ἀναλίσκοντες· οὐ γὰρ δι᾽ ὅλης τῆς ἡμέρας· ἡ δὲ μολπὴ, ποτὲ καὶ ἐπὶ παιδιᾶς τίθεται, ἤρχετο μολπῆς, [1] κυνῶντε μέλπηθρα, τὰ ἐπορχήματά φησι.

τπβ′. Παιήονα) Οὔτε τὸν Ἀπόλλωνα, οὔτε τὸν ἰατρὸν τῶν Θεῶν, ἀλλὰ τὸν ὕμνον· παιήων γὰρ καὶ παιὰν ὕμνοι εἰσὶν ἐπὶ καταπαύσει τοῦ λοιμοῦ ᾀδόμενοι, πολλάκις καὶ προσδοκωμένου τοῦ δεινοῦ· [2] πέντε δὲ αἱ παρὰ τοῖς Ἥρωσιν ᾠδαί· σωφρονιστικὸν, ὡς τὸ τοῦ ἀοιδοῦ Κλυταιμνήστρας· ἐγκωμιαστικὸν, οἷον Ἀχιλλεὺς ὕμνηται ᾄδων· παιωνικὸν, ὡς νῦν· θρηνητικὸν, ὅπερ ἐπὶ γυναικῶν μᾶλλον τάσσει, καὶ ὑποχρηματικόν·

ſit circumflexum νομῶ, quemadmodum a τρέχω ſit τροχῶ. Præterea in voce διπάεσσι eſt pleonaſmus vocalis epſilon, quemadmodum in πλεόνεσσι, ex πλέεσσι.

381. Reliquum omne diei in cantu conſumſerunt; non enim per totam diem ſignificat. Vox vero μολπὴ interdum etiam pro ludo ſumitur, ἤρχετο μολπῆς, canumque ſaltationes, & luſus μέλπηθρα appellat.

382. Ea vox neque Apollinem ſignificat, neque Deorum medicum, ſed hymnum. Pæeon enim, & pæan hymni ſunt, qui ad ſedandam peſtem, & ſæpe etiam ad aliquod malum imminens arcendum canuntur. Quinque porro ſunt apud Heroas cantilenarum genera; ſophroniſticum, cujuſmodi erat illud vatis, quem Clytæmneſtræ reliquit Agamemnon; encomiaſticum, ut illud, quod cecinit Achilles; pæanicum, ut hoc loco; threneticum, quod mulieribus magis competit; denique hypochrematicum.

Μέλποντες Ἑκάεργον· ὁ δὲ φρένα τέρπετ᾽ ἀκούων,
Ἦμος δ᾽ ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε,
Δὴ τότε κοιμήσαντο παρὰ πρυμνήσια νηός.

Cantu celebrantes Apollinem. illeque animo delectabatur audiens.
Quando autem ſol occidit, & tenebræ obortæ ſunt,
Tunc vero dormiverunt prope retinacula navis.

τπγ′. Τέρπετ᾽ ἀκούων) Ὡς μουσηγέτης, ἢ ὅτι κάλλιστον τῶν εἰς Θεοὺς δώρων

383. Tanquam muſarum dux & princeps, vel quia omnium, quæ Deo

& Suidæ, qui ajunt veteres πρὸς οἰωνὸν, *boni ominis gratia* ſic crateras implere conſueviſſe, ut vino coronari viderentur. Veruntamen quibuſdam viris eruditis hæc opinio non placet, quia, inquiunt, ſolebant veteres revera crateras coronare, puta floribus, vel ſertis, ut colligitur ex Virgilio, qui Homeri locum Aeneid. 1. ſic tranſtulit, *Crateras magnos ſtatuunt, & vino coronant*, atque alibi, *tum pater Anchiſes magnum cratera corona induit, implevitque mero*

1. Κυνῶντε μέλπηθρα) Iliad. XIII. v. 233. Ἐκ Τροίης, ἀλλ᾽ αὖθι κυνῶν μέλπηθρα γένοιτο.
2. Πέντε δὲ αἱ παρὰ τοῖς Ἥρωσιν ᾠδαί) Totidem cantilenarum ſpecies κατὰ τοὺς παλαιοὺς re-

Digitized by Google

ρων ὁ λόγος.

τπδ'. Ἄλλο. Διδάσκει ἡμᾶς ὁ ποιητὴς ὅτι [1] πλέον τῶν θυσιῶν τέρπονται οἱ Θεοὶ ἕκαστοι τοῖς οἰκείοις ὕμνοις.

τπε'. Ἥλιος κατέδυ) Ὅρος τῦ κατὰ φύσιν ὕπνυ καὶ παρὰ Θεοῖς, καὶ παρ' ἀνθρώποις, ἡλίυ δύσις. καὶ ἄλλως· [2] ὐ γὰρ ἔοικε δηθὰ Θεῶν ἐν δαιτὶ θαασσέμεν, ἀλλὰ νέεσθαι.

τπϛ'. Πρυμνήσια) Ἵνα ἐὰν εὔφορος αὔρα γένηται, αἴθωνται κινηθείσης τῆς νεός.

Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠὼς,

Καὶ τότ' ἔπειτ' ἀνάγοντο μετὰ στρατὸν εὐρὺν Ἀχαιῶν,

Τοῖσιν δ' ἴκμενον ἦρον ἵει ἑκάεργος Ἀπόλλων.

Οἱ δ' ἱςὸν σήσαντ', ἀνά θ' ἱςία λευκὰ πέτασσαν·

Ἐν δ' ἄνεμος πρῆσεν μέσον ἱςίον, ἀμφὶ δὲ κῦμα

Στείρῃ πορφύρεον μεγάλ' ἴαχε, νηὸς ἰούσης·

τπζ'. Ἠριγένεια) Ἡ ἐκ τῦ ἦρι γενομένη, ἦρι μάλ' ἑλλήσποντον, ὡς λυκηγενὴς, τειχογενής. ὅλα γὰρ ταῦτα εἰς πάθος ἀναλύεται, ὐκ εἰς ἐνέργειαν· γίνεται δὲ ἐκ τῦ ἀὴρ, αἴρος, αἔρι, καὶ ἦρι· τὸ δὲ ῥοδοδάκτυλος, συνεκδοχή ἐςιν· ἀπὸ γὰρ τῦ μέρυς τὸ ὅλον καλεῖ. λέγει δὲ τὴν πολύφωτον, τὴν δὲ πολύσκοτον κροκόπεπλον.

τπή.

Deo offeruntur, munerum optimum eſt oratio.

384. Docet nos Poeta Deos omnes oblectari magis ſuis hymnis, quam ſacrificiis.

385. Terminus, unde naturalis ſomnus incipit, tum apud Deos tum apud homines, ſolis occaſus eſt, & alibi, *neque decet diu Deorum in epulis ſedere, ſed abire*.

386. Ut ſi ventus ſecundus oriretur, navim a vento agitatam ſentirent.

Et quando mane genita apparvit roſea digitos Aurora,

Tunc e portu ſolverunt ad amplum exercitum Achivorum,

Illiſque ſecundum ventum miſit longe jaculans Apollo.

Illi vero malum erexerunt, velaque alba panderunt.

Ventuſque flatu implevit medium velum, & circum unda

Carinam nigra valde reſonabat, navi eunte:

387. Quæ mane generatur, *mane valde Helleſpontum*, quemadmodum λυκηγενὴς, τειχογενὴς, omnia enim hæc epitheta paſſivam, non activam ſignificationem habent. Fit autem ἠριγένεια ex ἀὴρ, αἴρος, αἔρι, & ἦρι. Illud vero ῥοδοδάκτυλος ſynecdoche eſt; ſiquidem a parte totum appellat. Significat igitur auroram ſplendore magno ornatam, quam,

 quum

cenſet Euſtathius, iiſdem nominibus appellatas, niſi quod pro ὑποχρηματικὴν, ut in noſtro Codice, ille habet ὀρχηματικήν. Placet Euſtathii verba referre. ὅλως δὲ, ὡς οἱ παλαιοὶ σημειῦνται, πέντε εἰσὶ παρὰ τοῖς Ἥρωσι. σωφρονιςικὴ, ὁποία ἡ τῦ τῇ Κλυταιμνήςρᾳ συνόντος ἀοιδῦ· ἐγκωμιαςικὴ, ὡς ἡ ῥηθεῖσα τῦ Ἀχιλλέως· θρηνητικὴ, ὀρχηματικὴ ὡς ἡ τῦ νεκρῦ τῦ ἐν τῇ ὁπλοποιίᾳ ᾄδοντος.

1. Πλέον τῶν θυσιῶν τέρπονται οἱ Θεοὶ ἕκαστοι τοῖς οἰκείοις ὕμνοις) Eadem hæc apud Barneſium, quæ ex lib. 1. Ὑπομνημονευμάτων Xenoph. deprompta eſſe adnotat idem vir doctus.

2. Ου γὰρ ἔοικε δηθὰ: Odyſſ. III. v. 335. Οὐδὲ ἔοικε
Δηθὰ Θεῶν ἐν δαιτὶ θαασσέμεν, ἀλλὰ νέεσθαι.

τπή. Ἴκμενον οὖρον) 1 Ἰκμάδος γὰρ ὑδάτων ἀτμιζομένης, ἄνεμος γίνεται· διὸ ψιλωτέον· οὐ γὰρ ἀπὸ τοῦ ἱκνεῖσθαι· ἅμα δὲ φύσιν ἀνέμων διδάσκει, καὶ τὸ συγνὸν σκεδάζει τοῦ λοιμοῦ.

τπθ'. Πέτασσαν) Ἔστιν ἰδεῖν λυόμενον ἄρμενον, καὶ ὑπὸ τοῦ ἀνέμου ἐπαιρόμενον.

τϟ'. Πρῆσεν) Ἐφύσησεν· ὑπέγραψε δὲ οὐριοδρομοῦσαν ναῦν· συγχαίρων δὲ αὐτοῖς, νῦν καλλιγραφεῖ τὸν ἀπόπλουν, οὐχ ὅτε ἀπῄεισαν.

τϟα'. Στείρῃ) 2 Τῇ τρόπιδι τῆς νηὸς, ἐπεὶ στερεωτέρα τῶν σανίδων ὑπάρχει· ἐπὶ γὰρ τῷ ξύλῳ τούτῳ, ὥσπερ θεμελίῳ τινὶ, ἐποικοδομεῖται τὰ ἄλλα ξύλα τῆς νηός.

τϟβ'. Πορφύρεον) Ἀριστοτέλης φησὶν ὡς κινούμενα ὀνόματα γράφει ὁ ποιητής.

Ἡ δ' ἔθεεν κατὰ κῦμα διαπρήσσουσα κέλευθον.
Αὐτὰρ ἐπεί ῥ' ἵκοντο κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν,

Νῆα μὲν οἵγε μέλαιναν ἐπ' ἠπείροιο ἔρυσσαν
Ὑψοῦ ἐπὶ ψαμάθοις, ὑπὸ δ' ἕρματα μακρὰ τάνυσσαν.
Αὐτοὶ δ' ἐσκίδναντο κατὰ κλισίας τε νέας τε.
Αὐτὰρ ὁ μήνιε νηυσὶ παρήμενος ὠκυπόροισι
Διογενὴς Πηλέος υἱὸς πόδας ὠκὺς Ἀχιλλεύς,
Οὔτε ποτ' εἰς ἀγορὴν πωλέσκετο κυδιάνειραν,

τϟγ'. Κατὰ κῦμα) Ἀντὶ τοῦ κατὰ κύματος, τὸ δὲ πρὸς κῦμα, ἐναντίωσιν ση-

quum magnis tenebris obvoluta eſt, κροκόπεπλον appellat.

388. Ex vaporibus enim, & exalationibus aquarum ventus gignitur. Quapropter ea vox leni ſpiritu notanda eſt; non enim ab ἱκνεῖσθαι proficiſcitur. Simul ergo ventorum naturam nos docet, & triſtem evaneſcere facit peſtem.

389. Cernere eſt velum ſolutum in ſublime rapi, & a vento agitari.

390. Inflavit. Deſcripſit autem navim, quæ vento ſecundo fertur, & quodammodo Græcis congratulatus, eleganter eorum reditum deſcribit, non autem profectionem.

391. Infimæ trabi; quandoquidem hæc omnium, quæ in navi ſunt trabium fortiſſima eſt; in ea enim tanquam in fundamento quodam cætera navis ligna inædificantur.

392. Ariſtoteles ait apud Poetam, quæ moventur voces reperiri.

Hæc autem currebat per undam ſecans vias.
Sed poſtquam venerunt ad caſtra ampla Achivorum,
Navem illi nigram in continentem ſubduxerunt
Altum ad litus, & palangas longas ſubtenderunt:
Et ipſi ſparſi ſunt per tentoriaque naveſque.
At ille iratus navibus aſſidens velocibus
Generoſus Pelei filius pedes celer Achilles,
Neque unquam concionem frequentabat illuſtres viros habentem,

393. Pro gignendi caſu κατὰ κύματος, *per undas*; illud autem πρὸς κῦμα

1. *Ἰκμάδος γὰρ ὑδάτων ἀτμιζομένης*) Hinc Euſtathius καὶ φύσιν δὲ ἀνέμων διδάσκει, ὃς ἐξ ἰκμάδος ὑδάτων ἀτμιζομένης ὑπὸ ἡλίου γίνεται.
2. Τῇ *τρόπιδι τῆς νηὸς κ. τ. λ.*] Eadem apud Barneſium.

σημαίνει.

τϟδʹ. Ὕψου ἐπὶ ψαμάθοις) Διδάσκει πολὺ ἀπὸ θαλάσσης νεωλκεῖν ὑφορωμένης τὴν πλημμύραν.

τϟέ. Ψαμάθοις) Καὶ ἡ ποταμία οὕτως καλεῖται· κείμενον ἐν ψαμάθοις.

τϟϛʹ. Ἕρματα) Δασύνεται· τὰ γὰρ βραχέα πρὸ τοῦ ρ, ἐπαγομένου τοῦ μ, δασύνεται, πλὴν τοῦ ἄρμενον.

τϟζʹ. Ἕρματα ἐξηγοῦνται τὰ ὑπερείσματα. 1 γέγονε δὲ ἀπὸ τοῦ ἐνεῖρθαι, καὶ ἐρηρεῖσθαι, 2 ἐν δ᾽ ἄρα ἕρματα ἧκεν εὐτρήτοισι λοβοῖσι, καὶ ἑρμὶς ὁ κλινόπους, τὸ οἷον ἕρμα, καὶ ἐρηρεισμένον κατὰ τῆς γῆς· καὶ ἡμεῖς δὲ ἕρμα πόλιος ἀπέκταμεν· τὸ ἔρεισμα καὶ θεμέλιον, ἐκ τοῦ ἐρηρεῖσθαι ἐν τῇ ἔρᾳ. καὶ ὅρμος δὲ ὁ περιδέραιος κόσμος, χρύσεον ὅρμον ἔχων.

τϟή. Αὐτοὶ δ᾽ ἐσκίδναντο) Περισσὸν τὸ ἀποπρεσβεύεσθαι πρὸς Ἀγαμέμνονα· φανερὸν γὰρ ἦν ἀπὸ τῆς παύσεως τοῦ λοιμοῦ.

τϟθʹ. Ἀγορὴν) Δύο οἶδεν ἀνδρῶν ἀρετὰς, πρᾶξιν, καὶ λόγον· προκρίνει δὲ τὸν λόγον, καὶ ἀλλαχοῦ· ἔργα οὔπω εἰδόθ᾽ ὁμοιΐου πολέμοιο, οὐδ᾽ ἀγορέων, ἵνα τ᾽ ἄνδρες ἀριπρεπέες τελέθουσι.

υ. Οὐδέποτ᾽ ἐς πόλεμον) Εἰκὸς κατὰ

μα significat contra undas.

394. Docet eos, qui inundationem ſuſpicantur, procul a mari naves trahere.

395. Fluvialis quoque arena eo nomine nuncupatur. *κείμενον ἐν ψαμάθοις*.

396. Aſpiratur; vocales enim breves ante ρ, litera μ ſubſequente, aſpirantur, præter ἄρμενον.

397. ἕρματα exponuntur fulcimenta, ſic dicta ex eo, quod terræ infigantur, atque hæreant. Sic etiam inaures appellantur ἕρματα ex eo, quod auribus infigantur, *inaureſque immiſit in ſcite perforatas auriculas*; & ἑρμὶς dicitur lecti pes, quoniam veluti fulcrum terræ inſeritur. Metaphorice quoque vox ἕρμα uſurpatur, ut, *nos columen civitatis interfecimus*. Fundamentum quoque ἔρεισμα dicitur, ex eo quod terræ infigatur. Præterea ὅρμος dicitur ornamentum, quod collo circumponitur, ut χρύσεον ὅρμον ἔχων.

398. Supervacaneum erat eos legationis exitum Agamemnoni referre; quandoquidem id a peſtis ſedatione perſpicuum erat.

399. Duas novit hominum virtutes; unam, quæ in agendo verſatur; alteram, quæ in ſermone, quarum ſecundam primæ anteponit. Et alicubi, *opera nondum ſcienti pernicioſi belli, neque concionum, unde viri præclari ſunt*.

400. Conſentaneum eſt per reticen-

1. Γέγονε δὲ ἀπὸ τοῦ ἐνεῖρθαι καὶ ἐρηρεῖσθαι) Hæc in Etymologico magno non extant.
2. Ἐν δ᾽ ἄρα ἕρματα) Iliad. XIV. v. 182.

Digitized by Google

κατὰ τὸ σιωπώμενον καὶ ἐκκλησίαν, καὶ πόλεμον πρὸς τοὺς περιοίκους γίνεσθαι· ἐφ' ἑκάστης γὰρ συνήεσαν [1] νηῒ παρὰ πρύμνῃ Ἀγαμέμνονος. Αὐτὸς δὲ ἦν ὁ ἐπὶ τοὺς πολέμους ἐξάγων, ὅπερ οὐκ ἐποίει νῦν· εὖ δὲ τῶν γενναίων ψυχῶν φθορὰν εἶπε τὴν ἀργίαν· τοῖς πρακτικοῖς γὰρ ἡ ἀργία φθορά ἐστι. κεῖται γὰρ ἐν νηυσί, φησι, καὶ κεῖται ἀπομηνίσας.

centiam tum concionem tum bellum adverſus finitimos fieri . Quotidie enim conveniebant *navis ad puppim Agamemnonis*. Ipſe vero erat qui ad bellum exercitum ducebat, quod hoc loco non facit. Recte autem generoſi animi corruptionem, & perniciem eſſe otium dicit; ſiquidem revera otium viris operoſis corruptela eſt, & pernicies . Jacet enim, inquit, in navibus, & ibi jacet ira percitus.

Οὔτέ ποτ' ἐς πόλεμον γ'· ἀλλὰ φθινύθεσκε φίλον κῆρ,
Αὖθι μένων, ποθέεσκε δ' ἀϋτήν τε πτόλεμόν τε.

Ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο δυωδεκάτη γένετ' ἠώς,
Καὶ τότε δὴ πρὸς Ὄλυμπον ἴσαν Θεοὶ αἰὲν ἐόντες
Πάντες ἅμα, Ζεὺς δ' ἦρχε· Θέτις δ' οὐ λήθετ' ἐφετμέων

Παιδὸς ἑοῦ. ἀλλ' ἥγ' ἀνεδύσατο κῦμα θαλάσσης,
Ἠερίη δ' ἀνέβη μέγαν οὐρανόν, Οὔλυμπόν τε.
Εὗρεν δ' εὐρύοπα Κρονίδην ἄτερ ἥμενον ἄλλων

Neque unquam in prælio verſabatur, ſed maceratbat ſuum cor,
Illic manens, & deſiderabat prœliumque bellumque.
Sed quando jam ex eo duodecimus erat dies,
Tum demum ad olympum ibant dii immortales
Omnes ſimul, præeunte Jove: nec Thetis oblita eſt mandatorum
Filii ſui, ſed emerſit ex unda maris,
Matutinaque petiit altum cœlum olympumquè:
Et invenit late proſpicientem Saturnium ſeorſum ſedentem ab aliis

υά. Ἐκ τοῖο) Ἐκ τούτου λέγει τοῦ χρόνου, τοῦ τῆς μήνιδος· εἶπε γὰρ ἡ Θέτις, χθιζὸς ἔβη μετὰ δαῖτα.

υβ'. Ἠερίη) Ἐπιρρηματικῶς· διδάσκει δὲ καὶ τῶν ἐντεύξεων τὸν καιρόν. ὁ γὰρ ἑωθινὸς ἥσυχος, καὶ νηφάλιος.

υγ'. Οὐρανὸν) Οὕτως καὶ τὸ στερέωμα καλεῖ, [2] οὐρανὸς ἐκκατέπαλτο, καὶ τὸν ὑπερνέφιον τόπον· αἱ δὲ κορυφαὶ τῶν ὀρέων ὑπερνέφιοί εἰσιν.

υδ'. Εὐρύοπα) Ψιλῶς, μεγαλόφωνον, ὡς τὸ ἐριβρεμέτης, ἢ μεγαλόφθαλμον

401. Ex hoc ait tempore iræ; dixit enim Thetis, *externus abiit ad convivium*.

402. Adverbialiter ea vox ſumitur. Docet autem opportunum tempus, quo aliquem convenire, & cum eo colloqui licet; mane enim ſobrium eſt, & tranquillum.

403. Sic appellat firmamentum, *e cælo deſiliit*, & locum ſupra nubes. Cacumina vero montium ſupra nubes eminent.

404. Tenuatur ea vox, & ſonat altitonantem, ut τὸ ἐριβρεμέτης, vel ſigni-

1. Νηῒ παρὰ πρύμνῃ] Iliad. VII. v. 383.
2. Οὐρανὸς ἐκκατέπαλτο] Iliad. XIX. v. 351. οὐρανοῦ ἐκκατέπαλτο δι' αἰθέρος.

μον, διὰ τὸ προνοητικόν· δίχα δὲ κάθηται, διὰ τὴν ἐξοχήν.

ſignificat magnis latiſque oculis præditum, propter ejus providentiam. Seorſim autem ſedet, propter ejus excellentiam.

Ἀκροτάτη κορυφῇ πολυδειράδος οὐλύμποιο.

Καί ῥα πάροιθ' αὐτοῖο καθέζετο, καὶ λάβε γούνων
Σκαιῇ· δεξιτερῇ δ' ἄρ ὑπ' ἀνθερεῶνος ἑλοῦσα,
Λισσομένη προσέειπε Δία Κρονίωνα ἄνακτα,
Ζεῦ πάτερ, εἴ ποτε δή σε μετ' ἀθανάτοισιν ὄνησα,
Ἢ ἔπει, ἢ ἔργῳ, τόδε μοι κρήηνον ἐέλδωρ·
Τίμησόν μοι υἱόν, ὃς ὠκυμορώτατος ἄλλων
Ἔπλετ'· ἀτάρ μιν νῦν γε ἄναξ ἀνδρῶν Ἀγαμέμνων

In ſummo vertice multa cacumina habentis olympi.

Et ante ipſum ſedit, & prehendit genua
Siniſtra: dextraque mento prehenſo,
Supplicans affata eſt Jovem Saturnium regem,
Jupiter pater, ſi quando tibi inter immortales profui,
Vel verbo, vel opere, hoc mihi perfice votum:
Honora mihi filium, qui breviſſimæ vitæ præ cæteris
Eſt: ſed ipſum nunc rex virorum Agamemnon

υέ. Δεξιτερῇ) Εἰκόνα δεομένης ὡς ἐν γραφῇ προέβαλεν· ἱκανὸν δὲ τὸ σχῆμα ἐπικλάσαι αὐτόν· τὸ δὲ ὑπολαβοῦσα τὸν ἀνθερεῶνα ἀντιφράζων φησίν, ἢ οἱ γούνατ' ἔκυσσεν καὶ λάβε χειρὶ γενείου· ἀγαθὰ δὲ λεχθῆναι οἰωνιζομένη, τοῦ γενείου αὐτοῦ προσελάβετο.

405. Imaginem ſupplicis veluti depictam exhibet. Satis autem erat hujuſmodi figura ad ipſum flectendum. Ei autem, quod dixit, *quum apprehendiſſet mentum*, contrarium alibi dicit, *quæ ei genua oſculata apprehendit barbam*. Quum autem bonum a Jove ſibi reſponſum augurarctur, barbam ejus apprehendit.

υϛ'. Ἢ ἔπει ὄνησα) περισμένως ὠφέλειαν εἶπε τὴν τῆς ἀρχῆς σωτηρίαν. ὑπέμνησε μέν τοι τῆς χάριτος, ἀλλ' οὐκ ὀνείδισεν.

406. Parce ac remiſſe dixit ſe juviſſe, quum dicere potuiſſet ſalvum & incolume illi imperium præſtitiſſe. Commemoravit autem beneficium, ſed non exprobravit.

υζ'. Ἀθανάτοισι) Τὸ ἀθάνατον ἐπὶ ἐμψύχων, τὸ δὲ ἄφθιτον ἐπὶ ἀψύχων οἱ φιλόσοφοι τάττουσιν· ὁ δὲ Πλάτων ἀθάνατον εἶναι λέγων τὴν ψυχήν, ἀθανάτῳ ὁμώνυμον εἶναι ἐπιφέρει· διὸ 1 τὸ μὲν κυρίως ἀθάνατον, καὶ κατ' οὐσίαν καὶ κατ' ἐνέργειάν ἐστι ἀμετάβλητον. τὴν δὲ ψυχὴν κατ' οὐσίαν μὲν οἶδεν ἀθάνατον, οὐκέτι δὲ καὶ κατ' ἐνέργειαν· οὔπω δ'

407. Epitheton hoc ἀθάνατον, *immortale* de animatis, illud vero ἄφθιτον, *incorruptibile* de inanimatis Philoſophi prædicant. Plato autem quum adſerit animam eſſe immortalem, voce, non autem ſignificatione omnino cum re vere proprieque immortali convenire tradit. Siquidem quod vere proprieque immortale eſt, tam ſecundum eſſen-

1 Τὸ μὲν κυρίως ἀθάνατον) Quod Plato in Timæo deſcribit his verbis, *τὸ δ' ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχον ἀκινήτως, quod ſemper ſecundum eadem & eodem modo ſe habet immobiliter.*

δ' ἂν εἴπῃ ϗ τὰ ὐράνια ἀθανάτῳ ὁμώνυμα· μεταβάλλει γὰρ αὐτὰ, εἰ ϗ μὴ κατ' ὐσίαν, ἀλλὰ κατὰ τόπον. ὅτι δὲ πάθος τῆς ζωῆς ἡ ἀθανασία, ϗ σύμπτωμά τι [1] (᾽πὶ ὑποθέσει γάρ τινι δείκνυται ἐκ θνητῦ ἀθάνατον γίγνεσθαι) προϊγράφη ἐν τῷ περὶ πάθυς. ὁ δὲ τὴν ἀθανασίαν ὁριζόμενος ςέρησιν θανάτυ, ἁμαρτάνει· ὐ γὰρ ςέρησις θανάτυ ἡ ἀθανασία, ἀλλ' ἐνἕξει, ϗ διαθέσει.

υή. Ἠ ἔπει) Ἔνιοι μέν φασιν ὅτι ϗ λόγῳ ὤνησε τὸν Δία, ϗ ἔργῳ· λόγῳ μὲν, βοηθὸν ἐλθεῖν πείσασα τὸν Βριάρεων· ἔργῳ δὲ διὰ τὸ μηκέτι δεθῆναι. ἄμεινον δὲ φάσκειν ὅτι προσέθηκε τῷ λόγῳ, ϗ μὴ γινόμενον, ἵνα μὴ δοκῇ φανερῶς ὀνειδίζειν τὸ ἔργον.

υθ'. Κρήηνον) Ει ἐγὼ ἀλλοτρία ὖσα ὠφέλησα, πῶς ὐ δίκαιον ἐμὲ παρακαλεῖν ὑπὲρ τῦ παιδὸς, ϗ ταῦτα ὑβρισθέντος, ϗ δυςυχῦντος; πλήρωσον ὖν μοι τὴν αἴτησιν.

υί.

eſſentiam quam ſecundum operationem immutabile eſt. Plato autem animam quoad aſſentiam quidem immortalem eſſe ſtatuit, non item quoad operationem. Eodem pacto idem Plato corpora cœleſtia immortalia conſtituit; quandoquidem ea ſi non quoad eſſentiam, certe quoad locum ſubire mutationem adſerit. Quod autem vitæ affectio, & accidens aliquod ſit immortalitas (per hypotheſin enim quandam oſtenditur a mortali immortale fieri) traditum eſt in lib. περὶ πάθυς, *de affectione*. Qui igitur immortalitatem privationem mortis eſſe definit, a veritate aberrat; non enim in privatione mortis, ſed in habitu, ac diſpoſitione quadam immortalitas conſiſtit.

408. Quidam ajunt Thetidem verbis factiſque Jovi profuiſſe; verbis quidem, quum Briareo perſuaſit ut Jovi opitularetur; factis vero, quia non amplius in vincula conjectus fuit. Satius tamen eſt ſi dicamus adjeciſſe *verbo*, etiam ſi id factum non fuerit, ne videretur manifeſte opus, quo ipſum juvit, exprobrare.

409. Si ego aliena quum ſim, tibi profui, quomodo equum non eſt me precari pro filio, eo vel maxime, qui injuria affectus eſt, & in calamitates incidit? Concede igitur quod peto.

410.

1. Ἐπὶ ὑποθέσει γάρ τινι δείκνυται ἐκ θνητῦ ἀθάνατον) Hæc perobſcura cuipiam videbuntur, niſi animadverterit Scholiaſtem fortaſſe reſpicere ad doctrinam Platonis in Phædone. Ibi enim Plato argumentatur animas humanas immortales eſſe, ex eo, quod homines a mortuis fiant vivi, quod probare nititur duabus theſibus, quas ad plenam illius loci intelligentiam, hic afferre placet.

1. Contraria, inquit, fiunt a contrariis, majora e. g. a minoribus, ex robuſtioribus de-

υι'. Ὠκυμορώτατος) Εἰς ἔλεον ἐπάγει, τὴν ἀωρίαν τοῦ παιδὸς οἰκτισαμένη, καὶ δεικνῦσα ὅτι βίου πολυχρονίου προκρίνας τιμὴν, καὶ ταύτης συνεστέρηται· ἐν βραχεῖ δὲ πάντα πέφρασται· καλῶς δὲ οὐκ εἶπε τίμησον Ἀχιλλέα· ἀγωγὸν γὰρ πειθοῦς μᾶλλον τὸ τῆς φύσεως ὄνομα, καὶ ἐν τοῖς ἑξῆς τὸν υἱὸν ἐμὸν τίσωσι.

410. Ad miſericordiam commovet, filii ſui intempeſtivum tempus, quo periturus erat, miſerta; oſtendenſque cum honore quoque illo privari, quem diuturnæ vitæ antepoſuerat. Breviter autem omnia exponuntur. Recte porro non dixit *honora Achillem*; validius enim eſt ad flectendum quem rogamus naturæ nomen, & quod deinceps ſequitur, *filium meum honorent*.

Ἠτίμησεν. ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς ἀπούρας.
Ἀλλὰ σύ πέρ μιν τῖσον, ὀλύμπιε μητίετα Ζεῦ.
Τόφρα δ' ἐπὶ Τρώεσσι τίθει κράτος, ὄφρ' ἂν Ἀχαιοὶ
Υἱὸν ἐμὸν τίσωσιν, ὀφέλλωσίν τέ ἑ τιμῇ.
Ὣς φάτο· τὴν δ' οὔ τι προσέφη νεφεληγερέτα Ζεύς,
Ἀλλ' ἀκέων δὴν ἧστο. Θέτις δ' ὡς ἥψατο γούνων,
Ὣς ἔχετ' ἐμπεφυυῖα, καὶ εἴρετο δεύτερον αὖθις.
Νημερτὲς μὲν δή μοι ὑπόσχεο, καὶ κατάνευσον,

Contumelia affecit. habet enim præmium ereptum quod ipſe vi cepit.
Sed tu ſaltem ipſum honora, olympie ſapientiſſime Jupiter:
Et tamdiu Trojanis concede victoriam, donec Achivi
Filium meum honorent, & amplificent honore.
Sic dixit. Hanc autem nihil allocutus eſt nubes cogens Jupiter,
Sed tacitus diu ſedit. Thetis autem, ut apprehenderat genua,
Sic tenebat inhærens, rogabatque iterum,
Vere jam mihi promitte, & annue,

υια'. Ἀλλὰ σύ) Ἠθικὸν τὸ σύ· ὃν ἐκεῖνος ὕβρισε, σὺ μὴ ὑπερόψει.

411. Familiare eſt Poetæ τὸ σύ. Quem ille dedecore affecit, tu ne deſeras.

υιβ'. Τόφρα) Ἐλάχιστον ὁρίζει καιρὸν πρὸς πειθώ· κακῶς δὲ τὸ ἀναφορικόν. ἀλλαχοῦ δὲ, ὄφρα μὲν ἠέλιος, τόφρα μάλ'.

412. Minimum ei tempus præſcribit, quo facilius perſuadeat. Malum autem, quod Græcis precatur, relativum eſt. Alicubi vero: *quandiu quidem ſol, tandiu*.

υιγ'. P 413.

biliora, ægroti a ſanis, a vigilantibus dormientes, & ſic de ſingulis.

2. Inter contraria, inquit, dantur duæ generationes, vel progreſſiones contrariæ, una e. g. qua quod majus eſt evadit minus, & altera huic contraria, qua quod minus eſt fit majus. Sic inter vigilantes & dormientes, una, qua vigilantes fiunt dormientes, & altera contraria, qua dormientes evadunt vigilantes, & ſic de cæteris.

Porro quum vita & mors ſint contraria, ex prædictis theſibus infert Plato homines a mortuis fieri vivos, quemadmodum a dormientibus vigilantes; proindeque animas ſolutas a corpore non interire, ſiquidem remanere debent, ut iterum corpora ſubeant, ideoque eſſe immortales. Per hoc igitur non probat a mortali fieri immortale, ut docet Interpres, ſed animas eſſe immortales, quia a mortuis vivi homines fiunt.

υιγʹ. Τιμῇ) Αὐξήσωσιν αὐτὸν τῇ τιμῇ· εἰκότως δὲ τὸ τῆς τιμῆς ὄνομα πολλάκις ἀνακυκλοῖ· τοῖς γὰρ ἀγαθοῖς ἀνδράσι τιμὴ φίλον, ἀτιμία δ' ἐχθρόν.

υιδʹ. Οὔτι προσέφη) Ὅτι μετ' ἐπισκέψεως ποιεῖσθαι τὰς ἀποκρίσεις δεῖ, ὅπου καὶ ὁ Ζεὺς σκέπτεται· ἅμα δὲ ὅτι περὶ πάσης ἐνθυμεῖται τῆς Ἰλιακῆς περιπετείας. τὸ δὲ τι περιττόν.

υιεʹ. Ὡς ἥψατο) Ὥσπερ, [1] ἀναφορικῶς· διδάσκει δὲ ἡμᾶς ὁ ποιητὴς μὴ ἀποκάμνειν ἐν ταῖς ἱκεσίαις.

υιϛʹ. Ὣς ἔχετ') Οὕτως, ἀνταποδοτικῶς· ἐμφατικὴ δὲ ἡ μεταφορὰ, ὥσπερ ἡνωμένης. διάστημα δὲ δίδωσιν, ἐπικλῶσα αὐτὸν εἰς ἔλεον, τῷ σχήματι καὶ τῷ λόγῳ ἔλεγεν· [2] εἴροντο δὲ ἑ κήδε' ἑκάστη.

413. Auxerint eum honore. Merito autem honoris nomen ſæpe repetit; viris enim præſtantibus honor gratus, dedecus contra inviſum eſt.

414. Quia conſiderate reſponſa ſunt danda; ſiquidem vel ipſe Jupiter, antequam Thetidi reſpondeat, meditatur; deinde quia verſabat animo univerſas Trojae viciſſitudines. Illud autem τι redundat.

415. Illud ὡς ſignificat quemadmodum, & ad ſubſequens ὣς refertur. Nos autem docet Poeta ne defatigemur in ſupplicationibus.

416. Hoc ſecundum ὣς præcedenti reſpondet, & ſignificat οὕτως, ſic. Emphatica vero eſt metaphora, qua Thetis velut Jovi adhærens deſcribitur. Spatium autem dat, ut flectat ipſum ad miſericordiam, figura & ſermone locuta.

Ἢ ἀπόειπ'· ἐπεὶ οὔ τοι ἔπι δέος· ὄφρ' ἐῢ εἰδῶ
Ὅσσον ἐγὼ μετὰ πᾶσιν ἀτιμοτάτη θεός εἰμι.
Τὴν δὲ μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς·
Ἦ δὴ λοίγια ἔργ' ὅτ' ἐμ' ἐχθοδοπῆσαι ἐφήσεις
Ἥρῃ, ὅταν μ' ἐρέθῃσιν ὀνειδείοις ἐπέεσσιν.
Ἡ δὲ καὶ αὔτως μ' αἰεὶ ἐν ἀθανάτοισι θεοῖσι
Νεικεῖ, καί τέ με φησὶ μάχῃ Τρώεσσιν ἀρήγειν.
Ἀλλὰ σὺ μὲν νῦν, ἀπόστιχε, μή σε νοήσῃ

Vel abnue: nec enim eſt cur metuas: ut bene ſciam,
Quantum ego inter omnes inhonoratiſſima Dea ſim.
Hanc autem graviter ſuſpirans allocutus eſt nubes cogens Jupiter,
Perniciosum ſane facinus erit, quando me in offenſionem impellis
Junonis, quum me irritat contumelioſis verbis.
Illa vero etiam temere mecum ſemper inter immortales Deos
Contendit; atque me dixit in pugna Trojanis auxiliari.
Quare tu quidem nunc abi, ne te videat

υιζʹ. Ἐπεὶ οὔτι) Ἐπεὶ σύνδεσμος, ἐπὶ

417. Prior ἐπεὶ, *quoniam*, conjunctio

1. Ἀναφορικῶς) Hæc duo adverbia ἀναφορικῶς, & quod paulo poſt ſequitur ἀνταποδοτικῶς deſunt in optimis Lexicis, quorum alterum ab ἀναφέρω, alterum ab ἀνταποδίδωμι deſcendit. Sibi invicem autem opponuntur, ac reſpondent, quippe quum alterum per protheſin ſignificet, alterum per antapodoſin ſonet.

2. Εἴροντο δὲ ἑ κήδε' ἑκάστη) Odyſſ. XI. v. 541. Ἕστασαν ἀχνύμεναι, εἴροντο δὲ κήδε' ἑκάστη.

ἐπὶ πρόθεσις ἀναστραφεῖσα· οὐδένα φοβῇ ἀρνήσασθαι, καὶ συγκατατίθεσθαι· τοῦτο δὲ δυσωπητικὸν, καὶ ὅτι ὁ τηλικαύτην ὀφειλήσας χάριν, οὐδὲ τὴν τυχοῦσαν χαρίζεται.

ctio eſt, poſterior ἐπὶ propoſitio inverſa. Neminem timeas annuendo, vel abnuendo. Hoc autem maxime pudore afficit, quod ille, qui ei maximo beneficio devinctus erat, neque tantillum indulgeret.

υιή. Ἀτιμοτάτη) Ἦν ἔδει καὶ λίαν τιμιωτάτην εἶναι παρὰ σοί· πιθανῶς δ' οὐκ εἶπεν ὅσον ἀχάριστος παρὰ πάντας εἶ, ἑαυτὴν δὲ ἀτιμοτάτην ἔσεσθαι.

418. Quam contra oportebat a te maximum honorem conſequi. Merito autem non dixit quantopere tu præ cæteris ingratus ſis, ſed ſeipſam potius dixit maximo contemtui fore.

υιθ'. Ὀχθήσας) Εἰς ὕψος ἐπάρας τὸν θυμὸν, παρὰ τὰς ὄχθας· ἢ μεγάλως ἀχθεσθεὶς, παρὰ τὸ ἄχθος. ἐντέχνως δ' ηὔξησε τὴν χάριν, δι' αὐτὴν φάσκων τὴν εἰς τοὺς φιλτάτους παρορᾷν τιμήν.

419. In ſublime erigens animum, ſumta metaphora ab ὄχθους, vel valde triſtatus, ab ἄχθος, *triſtitia*. Artificioſe autem auxit beneficium, per hoc, quod adſerat propter ipſam chariſſimos ſuos negligere.

υκ'. Ἥρῃ) [1] Ἀρίσταρχος τὸ Ἥρη κατ' εὐθεῖαν φησι, ἵν' ᾖ, ὅταν μ' ἐρέθῃσιν Ἥρα, τότε μ' ἐχθοδοπῆσαι ἐφήσεις.

420. Ariſtarchus illud Ἡρη nominativo caſu efferτ, ut ſenſus ſit; quum me irritaverit Juno, tum me inviſum ei evadere compelles.

υκά. Καὶ ἄυτως) Μάτην, ψευδῶς, ἐμοῦ μὴ ταῖς ἀληθείαις ἐπικουροῦντος αὐτοῖς. ἄκρως δὲ γυναικεῖον ἦθος ἐξέθετο· ὑποπτεύουσι γὰρ ἅπαντα, καὶ τοὺς ἄνδρας ὀνειδίζουσιν, ὡς οὐ πράττοντας τὰ αὐταῖς κεχαρισμένα.

421. Fruſtra, & falſo, me revera Trojanis auxilium non ferente. Mirum autem in modum fœmineos mores expreſſit; fœminæ enim ſuſpicantur omnia, objurgantque viros, tanquam non agentes, quæ ipſarum animo grata ſunt.

Ἥρῃ· ἐμοὶ δέ κε ταῦτα μελήσεται ὄφρα τελέσσω.
Εἰ δ' ἄγε τοι κεφαλῇ κατανεύσομαι, ὄφρα πεποίθῃς.
Τοῦτο γὰρ ἐξ ἐμέθεν γε μετ' ἀθανάτοισι μέγιστον
Τέκμωρ. οὐ γὰρ ἐμὸν παλινάγρετον, οὐδ' ἀπατηλὸν,

Juno: mihi autem hæc erunt curæ ut perficiam.
Quod ſi non credis, age, capite tibi annuam, ut fidem habeas.
Hoc enim a me inter immortales certiſſimum
Signum. neque enim verbum meum revocabile, neque fallax,

υκβ'. Μελήσεται) Μελήσει δέ μοι, πῶς

422. Mihi curæ erit modus hæc per-

1. Ἀρίσταρχος τὸ Ἥρη κατ' εὐθεῖαν Ergo juxta Ariſtarchum deme jota ſubſcriptum, & ſubſequens punctum, & lege hoc modo
Ἦ δὴ λοίγια ἔργ' ὅτ' ἐμ' ἐχθοδοπῆσαι ἐφήσεις
Ἥρη ὅταν μ' ἐρέθῃσιν ὀνειδείοις ἐπέεσσι.

πῶς ταῦτα τελέσω· τῆς δωρεᾶς δὲ ἐμφῆνας τὸ μέγεθος, ὅτι τὸ τῇ γυναικῇ προσκρέει δι᾽ αὐτὸν, ὅμως ἐπὶ τέλει ἐπινέυει, διδάσκοντος τοῦ ποιητοῦ, ὡς μέγιςόν ἐςιν ἀποδιδόναι χάριν ὀφείλοντα.

υκγ′. Κεφαλῇ) Τό λογιςικὸν περὶ κεφαλὴν. τὸ θυμικὸν περὶ καρδίαν, κραδίη δέ οἱ ἔνδον ὑλάκτει· τὸ ἐπιθυμητικὸν περὶ ἧπαρ, ἧπαρ ἔχειρον.

υκδ′. Παλινάγρετον) Ταῦτα παιδευτικὰ πρὸς πίςιν· τὰς δὲ αἰτίας εἶπε, δι᾽ ἃς ἐ τελῦμεν τὰς ὑποχέσεις· ἢ μετανοήσαντες, ὅπερ δηλοῖ τὸ παλινάγρετον, ἤτοι τὸ εὐμετάςρεπτον· ἢ παραλογιζόμενοι τὲς δεηθέντας, ὅπερ ἐν τῷ ἀπατηλῷ νοεῖται· ἢ ἐ δυνηθέντες ἐκτελεῖν τὰς ὑποχέσεις, ὅπερ εἶχε τὸ ἀτελεύτητον.

perficiendi. Beneficii autem magnitudinem oſtendit per hoc, quod licet ejus cauſſa in uxoris odium incideret, in fine tamen annuit; ex quo docet Poeta, rem maximi momenti eſſe cui debentur grates referre.

423. Pars animæ rationalis in capite reſidet; iraſcibilis in corde, *cor autem ei intus latrabat*; concupiſcibilis in jecore, ἧπαρ ἔχειρον.

424. Hæc inſtruunt ad fidem præſtandam. Expoſuit autem cauſſas, ob quas promiſſa non ſervamus; id nempe accidit, vel quia nos promiſſorum pœnitet, quod ſignificat verbum παλινάγρετον, *revocabile*, ſeu εὐμετάτρεπτον, *mutatu facile*; vel quia decipimus eos, qui ſupplicarunt, quod in ἀπατηλῷ intelligitur; vel denique quia promiſſa conficere non valemus, quod continetûr in ἀτελεύτητον, *infectum*.

Οὐδ᾽ ἀτελεύτητόν γ᾽, ὅ, τι κεν κεφαλῇ κατανεύσω.
Ἦ, καὶ κυανέῃσιν ἐπ᾽ ὀφρύσι νεῦσε Κρονίων.
Ἀμβρόσιαι δ᾽ ἄρα χαῖται ἐπεῤῥώσαντο ἄνακτος
Κρατὸς ἀπ᾽ ἀθανάτοιο, μέγαν δ᾽ ἐλέλιξεν Ὄλυμπον.
Τώγ᾽ ὣς βελεύσαντε διέτμαγεν· ἡ μὲν ἔπειτα
Εἰς ἅλα ἆλτο βαθεῖαν ἀπ᾽ αἰγλήεντος Ὀλύμπου,
Ζεὺς δὲ ἑὸν πρὸς δῶμα· Θεοὶ δ᾽ ἅμα πάντες ἀνέςαν
Ἐξ ἑδέων, σφῦ πατρὸς ἐναντίον· ἐδέ τις ἔτλη

Neque irritum eſt quodcunque capite annuero.

Dixit, & nigris ſuperciliis annuit Saturnius.
Immortaleſque comæ commotæ ſunt regis
A capite immortali, ac magnum concuſſit olympum.
Illi re ſic deliberata disjuncti ſunt: hæc deinde
In mare deſiliit profundum de ſplendido olympo;
Jupiter autem in ſuam domum. Dii vero ſimul omnes aſſurrexerunt
Ex ſedibus, ſui patris in occurſum: neque quiſquam ſuſtinuit

υκέ Ἐπ᾽ ὀφρύσι νεῦσε) Ἐπένευσε ταῖς ὀφρύσι· μέρος γὰρ καὶ αὗται τῆς κεφαλῆς. κυάνεαι δὲ αἱ μέλαιναι, καὶ αἱ καταπληκτικαί.

υκς′. Μέγαν δ᾽ ἐλέλιξεν) Κατὰ συλλογισμὸν ὁ ἔπαινος· οἷος γάρ ἐςιν ἐδήλωσε,

425. Superciliis annuit; hæc enim capitis pars ſunt. Dicuntur autem ſupercilia κυάνεαι, quæ nigra, & horrenda ſunt.

426. Jovem conſequentia quadam laudat; ſiquidem qualis ille ſit decla-

λωσε, καὶ ὅτι νεύματι τὸν Ὄλυμπον κινεῖ. τὸ μέντοι μέγαν, οὐκ ἀργὸν, ἀλλ' ὅτι καὶ τοσοῦτος ὢν, τῷ νεύματι ἐσείσθη. [1] τῷ δὲ τάχει τῶν συλλαβῶν, τὸν βρισμὸν τοῦ ὄρους ὑπογράφει, καὶ τὸ ταχὺ τῆς κινήσεως δηλοῖ.

claravit, oſtenditque eum nutu ſuo olympum concutere. Non eſt autem inane epitheton illud *μέγαν*, *magnum*, ſed denotat olympum, licet talis tantuſque eſſet, nutu tamen concuſſum fuiſſe. Per ſyllabarum autem celeritatem, montis tremorem deſcribit, motuſque velocitatem oſtendit.

υκζ'. Διέτμαγεν) Διεχωρίσθησαν· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν τεμνομένων σωμάτων.

427. Separati ſunt, ducta metaphora a corporibus, quæ ſecantur.

υκη'. Ἆλτο) Πρὸς τὸν παῖδα γὰρ ἀπιοῦσα, ὑπόνοιαν ἂν ἔδωκε τῇ Ἥρᾳ. [2] τὸ δὲ ἆλτο, ψιλῶς· τὸ γὰρ α καταλῆγον εἰς λ, ἑνὸς τῶν τῆς τρίτης συζυγίας ἐπαγομένου, ψιλοῦται.

428. Si enim ad filium profecta eſſet, Junoni ſuſpicionem attuliſſet. Vox vero *ἆλτο*, *ſaliit*, leni ſpiritu profertur; alpha enim deſinens in lamda, ſequente aliqua characteriſtica tertiæ conjugationis, tenuatur.

υκθ'. Ἑδρέων) Δασύνεται, παρὰ τὸ ἕξω· οἱ δὲ μετὰ τοῦ ρ ἐξ ἑδρέων· τὸ σφοῦ, συγκοπὴ τοῦ σφετέρου· ἔνθεν καὶ Λυκοῦργος ἐθέσπισεν ἐπανίστασθαι τοῖς γεραιτέροις τοιοῦτος καὶ Τηλέμαχος.

429. Aſpiratur, quippe quum ab *ἕξω*, *habebo* manet. Alii vero legunt cum ρ *ἐξ ἑδρέων*. Illud autem *σφοῦ* fit per ſyncopen *τοῦ σφετέρου*. Hinc Lycurgus quoque ſanxit, ut ſenioribus juniores aſſurgerent. Talis etiam Telemachus.

Μεῖναι ἐπερχόμενον, ἀλλ' ἀντίοι ἔσταν ἅπαντες·
Ὣς ὁ μὲν ἔνθα καθέζετ' ἐπὶ θρόνου, οὐδέ μιν Ἥρη
Ἠγνοίησεν, ἰδοῦσ' ὅτι οἱ συμφράσσατο βουλὰς

Expectare venientem, ſed obvii ſteterunt omnes.
Sic ille illic reſedit in ſolio, neque ipſum Juno
Ignoravit, conſpicata quod contulerat cum eo conſilia

Ἀργυρόπεζα Θέτις, θυγάτηρ ἁλίοιο γέροντος·
Αὐτίκα κερτομίοισι Δία Κρονίωνα προσηύδα,

Argenteos pedes habens Thetis, filia marini ſenis.
Statim itaque conviciis Jovem Saturnium adorta eſt,

υλ'. Ἐπερχόμενον) Ἀντὶ τοῦ ἐπερχομένου. ἄμεινον δὲ καὶ ἦλθον γράφειν· τοῦτο

430. Pro genitivo *ἐπερχομένου*. Melius etiam eſſet ſcribere *ἦλθον* (pro *ἔσταν*)

1. Τῷ δὲ τάχει τῶν συλλαβῶν] Eadem ἐκ τῶν παλαιῶν habet Euſtathius. τὸ δὲ ἐλέλιξεν ἑρμηνεύεται παρὰ τῶν παλαιῶν, ὡς τῷ τάχει, ἢ τῷ λείῳ, καὶ ὑποκόπῳ τῆς ἐκφωνήσεως τῶν συλλαβῶν δηλοῦν τὸ ταχὺ τῆς ὀλυμπίας κινήσεως.

2. Τὸ δὲ ἆλτο ψιλοῦται] Eadem κατὰ τοὺς παλαιοὺς apud Euſtathium. ἀλλὰ τὸ ἆλτο ψιλοῦται τάχα μὲν ὡς αἰολικὸν, μάλιστα δὲ, κατὰ τοὺς παλαιοὺς, διὰ τὴν τοῦ τ ἐπιφοράν· τὸ γὰρ α λῆγον εἰς λ, ἐπαγομένου ἑνὸς τῶν τῆς τρίτης συζυγίας συμφώνων, ἤγουν, τοῦ δ, ἢ θ, ἢ τ, ψιλοῦται.

Digitized by Google

τῦτο γὰρ ἐναντίον τῷ μεῖναι, καὶ πλείονος τιμῆς ἐχόμενον.

ἔςαι) ſiquidem hoc opponitur præcedenti μεῖναι, & majorem honorem præſefert.

υλά. Ἀργυρόπεζα) Κόσμον περὶ τὰς ᾤας ἔχυσα, ἢ διὰ τὰς αἰγιαλὰς· 1 ἀλίοιο δὲ ἄδηλον Πρωτέως, ἢ Φόρκυνος, εἰ μὴ διὰ τὸ, κλῦτε κασίγνηται Νηρηΐδες Φόρκυνος.

431. Ornatum circa veſtis fimbrias habens; vel ſic appellatur propter littora, & marinas oras. Illud autem ἀλίοιο incertum eſt utrum de Proteo, vel Phorcyne intelligendum ſit; præter quam quod pro Phorcyne facit illud: κλῦτε κασίγνηται Νηρηΐδες Φόρκυνος.

υλβ'. Κερτομίοισι) Τοῖς τὸ κέαρ μειῦσι, κατὰ ἀποκοπὴν τῦ ε. γυναικεῖα δὲ ἄμφω, τό, τε ὑπονοῆσαι, καὶ τὸ μὴ ἐπιχεῖν τὰς λόγυς.

432. Quæ cor extenuant, & torquent, per apocopen vocalis epſilon. Utrumque autem mulieris eſt, ſuſpicari videlicet, & non cohibere verba.

Τίς δ' αὖ τοι δολομῆτα Θεῶν συμφράσσατο βυλάς;
Αἰεί τοι φίλον ἐςὶν ἐμεῦ ἀπὸ νόσφιν ἐόντα,
Κρυπτάδια φρονέοντα δικαζέμεν· ὐδέ τί πώ μοι
Πρόφρων τέτληκας εἰπεῖν ἔπος ὅ, ττι νοήσῃς.
Τὴν δ' ἠμείβετ' ἔπειτα πατὴρ ἀνδρῶν τε Θεῶν τε.
Ἥρη μὴ δὴ πάντας ἐμὺς ἐπιέλπεο μύθυς
Εἰδήσειν· χαλεποί τοι ἔσοντ' ἀλόχῳ περ ἐύσῃ·
Ἀλλ' ὃν μέν κ' ἐπιεικὲς ἀκυέμεν, ὔτις ἔπειτα

Quis vero iterum, doloſe, Deorum contulit conſilia?
Semper tibi gratum eſt, a me ſeorſum agentem,
Clandeſtina conſilia ineuntem ſtatuere: neque unquam mihi quicquam
Lubens ſuſtinuiſti dicere conſilium quodcumque cogitaveris.
Huic reſpondit deinde pater hominumque Deorumque,
Juno, ne omnia mea ſperato conſilia
Te ſcituram: difficilia tibi erunt, uxor utut mea ſis:
Sed quod quidem par fuerit audire, nullus

υλγ'. Δολομῆτα) Τὰ εἰς ης βαρύτονα, τῷ η παραληγόμενα, καὶ τὴν κλητικὴν εἰς α ἔχοντα, προπερισπᾶται, ἀκυρολομῆτα, πεδῆτα, πλὴν τῦ ἀκάκητα.

433. Barytona in ης, quæ vocalem η in penultima, & vocativum in α deſinentem habent, in penultima circumflectuntur, ut ἀκυρολομῆτα, πεδῆτα, præter ἀκάκητα.

υλδ'. Ἀπὸ νόσφιν ἐόντα) Τὸ ἑξῆς ἀπεόντα· διὸ ὐκ ἀναςρεπτέον τὴν ἀπό. ἡ δὲ φράσις συνήθης, ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν ἔρχεσθαι· σφῶϊ μέν τ' ἐπέοικε

434. Quod deinceps ſequitur, conſtruendum ἀπεόντα, quocirca propoſitio ἀπὸ non eſt invertenda. Hæc autem phraſis conſueta eſt, tranſire vide-

1. Ἀλίοιο δὲ ἄδηλον Πρωτέως ἢ Φόρκυνος] Scholiaſtes apud Barneſium illud intelligit de Nereo; & ſane Heſiodus in Theog. v. 264. quinquaginta nymphas ex Nereo & Doride prognatas memorat, in quarum numero Thetida recenſet.

οικε μετὰ πρώτοισιν ἐόντα, ἀντὶ τῦ ἐῦσιν.

υλέ. Εἰπεῖν) Δυσχαίρυσιν εἰ μὴ πάντα αὐταῖς ἀνακοινοῖντο οἱ ἄνδρες· ἀρχοντικὸν δὲ τὸ δικάζειν.

υλς΄. Πατὴρ ἀνδρῶν τε Θεῶν τε) Τὸν Δία μόνον τῶν Θεῶν ὕτως καλεῖ, ὅτι τὸ συναμφότερον ἔχει μόνος· Θεῶν μὲν ἐςὶ πατὴρ καθ᾽ Ὅμηρον, Ἄπολλωνος, Ἡφαίςυ, Ἄρεως, Ἑρμῦ, Διονύσυ, Χαρίτων, Μυσῶν, Ἀφροδίτης· καὶ πολλῶν θνητῶν, Σαρπηδόνος, Αἰακῦ, Ζήθυ, Ἀμφίωνος, Μίνω, Ῥαδαμάνθυος, Περσέως, καὶ ἑτέρων πολλῶν· οἱ δὲ ἄλλοι πολλῶν πατέρες εἰσὶ καθ᾽ Ὅμηρον, ἀλλ᾽ ὐ θνητῶν· οἷον Κρόνος μὲν, Διὸς, Ἥρας, Ἄιδυ, Ποσειδῶνος, θνητῦ δὲ ὐδενός· καὶ Ποσειδῶν πάλιν Θεῦ μὲν ὐδενὸς, θνητῦ δὲ τῦ Κύκλωπος, τῦ Ἐπιάλτυ, τῦ ὤτυ.

υλζ΄. Πάντας ἐμὺς) 1 Θεσπίζει μὴ πάντα ὀφείλειν αὐταῖς κοινῦσθαι, ὅπως εἰ καί τι μάθοιεν, ἀγαπῷεν· ἀκόλυθα δὲ τύτοις καὶ τὰ παρὰ Ἀγαμέμνονος πρὸς Ὀδυσσέα λεγόμενα· ἀλλὰ τὸ μὲν φάσθαι ἔπος, τὸ δ᾽ ἐνὶ φρεσὶ κεύθειν.

υλή. Ἀκύμεν) Πρᾴως διαλεγόμενος ὡς τιμὴν αὐτῇ περιάπτει· ἐςὶ δὲ καὶ βιωτικὰ μιμήματα, πρῶτον ἠπίως ἀρξάμενον, ἐπάγειν τὰς ἀπειλὰς ὕςερον.

Ο῎υτε

videlicet a dativo ad accuſativum, ut alibi. σφῶϊ μὲν τ᾽ ἐπέοικε μετὰ πρώτοισιν ἐόντα, pro οὖσιν.

435. Ægre mulieres ferunt, niſi omnia eis communicent viri. Principem vero decet judicare.

436. Jovem ſolum inter Deos ſic appellat, quia ſolus utrumque ſimul habet. Deorum quidem pater eſt, juxta Homerum, Apollinis, Vulcani, Martis, Mercurii, Bacchi, Gratiarum, Muſarum, Veneris; & multorum mortalium, Sarpedonis nempe, Aeaci, Zethi, Amphionis, Minois, Rhadamanthi, Herculis, Perſei, aliorumque multorum. Alii vero Dii ſecundum Homerum eundem multorum quidem Deorum patres ſunt, minime autem mortalium e. g. Saturnus pater quidem eſt Jovis, Junonis, Plutonis, Neptuni, mortalium vero nullius. Contra Neptunus nullius Dei pater eſt, bene autem mortalium, nempe Cyclopis, Epialti, Oti.

437. Decernit non omnia eſſe mulieribus communicanda, adeo ut ſi quidpiam illæ intellexerint, contentæ eſſe debeant. Hiſce conſentanea ſunt quæ ab Agamemnone Ulyſſi dicuntur: *ſed aliud quidem dic verbum, aliud autem animo reconde*.

438. Placide diſſerendo quodammodo eam honorat. Sunt autem hæc hujus vitæ imitamenta, benigne primum incipere, & poſtea minas inducere.

Neque

1 Θεσπίζει μὴ πάντα ὀφείλειν αὐταῖς κοινῦσθαι) Huc ſpectat illud Naumachii apud Stobæum. μηδέ μιν ἐξερέεσθαι τὰ μὴ θέμις ἐςὶ γυναῖκας ἴδμεναι, *neque ipſum interroga de his, quæ mu-*

Digitized by Google

Οὔτε Θεῶν πρότερος τόν γ' εἴσεται, οὔτ' ἀνθρώπων.
Ὃν δ' ἂν ἐγὼν ἀπάνευθε Θεῶν ἐθέλοιμι νοῆσαι·
Μήτι σὺ ταῦτα ἕκαστα διείρεο, μηδὲ μετάλλα·
Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη.

Αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπας;
Καὶ λίην σε πάρος γ' οὔτ' εἴρομαι, οὔτε μεταλλῶ.

Ἀλλὰ μάλ' εὔκηλος τὰ φράζεαι, ἅσσ' ἐθέλῃσθα

Νῦν δ' αἰνῶς δείδοικα κατὰ φρένα, μή σε παρείπῃ

Neque Deorum prior hoc ſciet, neque hominum:
Quod autem ego ſeorſum a Diis voluero animo concipere,
Ne tu hæc ſingula interroga, neque perſcrutare.
Huic reſpondit poſtea magnis oculis prædita veneranda Juno,
Severiſſime Saturnie, quale verbum dixiſti?
Et omnino te antea neque interrogavi, neque perſcrutor:
Sed valde quietus hæc conſultas quæcumque vis.
Nunc vero valde timeo animo, ne te ſeduxerit.

υλθ'. Ποῖον τὸν μῦθον) Τὸν ὁποῖον μῦθον, ἀττικῶς προσελθόντος ἄρθρου τῷ πύσματι.

υμ'. Οὔτ' εἴρομαι) Ἄμφω διὰ τοῦ τ. ἵν' ᾖ ἐμφατικὸν δεύτερον λεγόμενον· καὶ ἐν τῇ ἀπολογίᾳ δὲ μέμφεται, ὡς ἀεὶ ἰδιάζοντος αὐτοῦ· ἔθος δὲ γυναιξὶν ἀρνεῖσθαι, ὅτι ποτὲ παρηνώχλησαν τοῖς ἀνδράσιν.

υμα'. Εὔκηλος) Ἡ εὐ πρὸ συμφώνου ψιλοῦται, πλὴν τοῦ εὕδω, εὑρίσκω· τὸ γὰρ εὕδειν ἀπὸ τοῦ εὔω.

υμβ'. Ἅσσ') Φασὶ τρία σημαίνειν τὴν λέξιν, τὸ τινὰ, τὸ ἅτινα, τὸ ὅσα· καὶ ἀεὶ ψιλοῦται, πλὴν τοῦ ὅτε δηλοῖ τὸ ἅτινα· τότε γὰρ δασύνεται, καὶ ἔστι κατὰ τὸν Ἡρωδιανὸν δύο μέρη λόγου· τὸ ἄρθρον, καὶ τὸ σὰ μεγαρικὸν, δηλοῦν τὸ τινά· ἐν δὲ τῷ προκειμένῳ στίχῳ ψιλοῖ τὸ ἀσσα, καὶ ἀξιοῖ δηλοῦν τὸ ὅσα.

439. Quale verbum, attice accedente interrogationi articulo.

440. Utrumque per τ ſcribendum, ut ſic repetitum emphaticum ſit. Porro in defenſione quoque eum reprehendit, tanquam ille ſeorſim ab ipſa ſemper ſederet. Solent autem mulieres inficiari ſe unquam viris moleſtiam exhibuiſſe.

441. Particula εὐ conſonanti præfixa tenuatur, præter εὕδω, εὑρίσκω, *dormio*, *invenio*; εὕδειν enim manat ab εὔω.

442. Ajunt eam vocem tria ſignificare; τινὰ, *quædam*; ἅτινα, *quæ*; & ὅσα, *quæcumque*. Et ſemper tenuatur, præterquam quum ſignificat ἅτινα, quo in caſu aſpiratur, continetque juxta Herodianum orationis partes duas; τὰ ἃ, *quæ* articulum, & τὸ σὰ, quod Megarenſium dialecto ſignificat τινὰ, *quædam*. In propoſito autem verſu leni ſpiritu idem Herodianus effert

υμγ'.

lieres ſcire non debent: maxime vero arcendæ ſunt mulieres ab his negotiis, in quibus ſilentium requiritur, ut facete Antimachus λαθεῖν ζητῶν τι πρὸς γυναῖκα ἐρεῖς τὸ πρᾶγμα; ἢ τί τοῦτο διαφέρει, ἢ πᾶσι τοῖς κήρυξιν ἐν ἀγορᾷ φράσαι; *tacendum quod putas an fœminæ committis? immo quid aliud, quam ſi in foro denunciares voce præconum omnium?* imprudentes enim ſunt mulieres. τὸ δ' ἀνδράσι φρόνημα, inquit lepidulus Anacreon, γυναιξὶν οὐκ ἔτ' εἶχεν, *hominibus* [natura dedit]

effert τὸ ἄσσα, arbitraturque ſignificare τὸ ὅσσα, *quæcumque*.

υμγʹ. Δείδοικα) Ἠθικῶς· δέδοικα ἵνα φησὶ μὴ πλεονεκτηθῇς ὑπὸ Θέτιδος· τὸ δὲ καταινεῦσαι, καὶ τὸ νεῖκειν ἐλεγχούσης ἐστίν.

443. Uſitatum Poetæ illud eſt, & ſignificat, timeo ne Thetis te circumveniat. Voces autem illæ καταινεῦσαι, & νεῖκειν reprehendentis ſunt.

Ἀργυρόπεζα Θέτις, θυγάτηρ ἁλίοιο γέροντος.
Ἠερίη γάρ σοίγε παρέζετο, καὶ λάβε γούνων.
Τῇ σ' ὀΐω κατανεῦσαι ἐτήτυμον, ὡς Ἀχιλῆα
Τιμήσῃς, ὀλέσῃς δὲ πολέας ἐπὶ νηυσὶν Ἀχαιῶν.
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς.
Δαιμονίη αἰεὶ μὲν ὀΐεαι, οὐδέ σε λήθω·
Πρῆξαι δ' ἔμπης οὔτι δυνήσεαι, ἀλλ' ἀπὸ θυμοῦ
Μᾶλλον ἐμοὶ ἔσεαι· τὸ δέ τοι καὶ ῥίγιον ἔσαι·
Εἰ δ' οὕτω τοῦτ' ἐστὶν ἐμοὶ μέλλει φίλον εἶναι.
Ἀλλ' ἀκέουσα κάθησο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ.
Μή νύ τοι οὐ χραίσμωσιν ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ
Ἆσσον ἰόνθ'· ὅτε κέν τοι ἀάπτους χεῖρας ἐφείω.

Argenteos pedes habens Thetis, filia marini ſenis.
Matutina enim tibi aſſedit, & prehendit genua.
Cui te ſuſpicor annuiſſe certe, ut Achillem
Honores, perdaſque multos ad naves Achivos;
Huic viciſſim reſpondens dixit nubes cogens Jupiter,
Infœlix, ſemper quidem ſuſpicaris, nec te lateo.
Proficere tamen nihil poteris, ſed animo ingrata
Magis eris meo: & hoc acerbius tibi erit:
Quod ſi hoc ita eſt, mihi gratum erit.
Quare tacita ſedeto, meoque pare conſilio:
Ne forte tibi parum proſint quotquot Dii ſunt in Olympo
Propius accedentes, quum tibi invictas manus injecero.

υμδʹ. Δαιμονίη) Μακαρία ἐν σαρκασμῷ· τὸ δὲ ὀΐεαι ἀπὸ τοῦ ὀΐει. ἔχει δὲ διαιρέσεις δύο.

υμεʹ. Ῥίγιον) Ἡ γὰρ ἄγνοια οὐ τοσοῦτον λυπεῖ, ὅσον τὸ ἀποθύμιος εἶναι.

υμϛʹ. Ἐμοὶ μέλλει) Εἰ συνεθέμην δὲ πάντως, τοῦτο κατὰ τὸ ἐμοὶ ἀρέσκον ἐποίησα· [1]ἀρχοντικῶς δὲ οὔτε συντίθεται, οὔτε ἀρνεῖται.

υμζʹ. Μή νύ τοι) Νῦν μὲν λόγοις αὐτὴν ἀποκρούεται, ἑτέρωθι δὲ καὶ ἔργοις κολάζει, διδάσκοντος ἴσως τοῦ ποιητοῦ, ὅτι ἀφόρητον ἂν εἴη γυνὴ, μὴ καθ' ὥραν

444. Beata appellatur per ironiæ genus, quod ſarcaſmus dicitur. Illud autem ὀΐεαι fit ab ὀΐει, continetque diviſiones duas.

445. Neſcire enim (quæ quiſpiam meditatur) non tantum torquet, quantum inviſum ei eſſe.

446. Si vero Thetidi (hæc omnia quæ dicis) promiſi, quod mihi placuit feci. Pro ſua autem dignitate neque confitetur ita eſſe, neque negat.

447. Nunc quidem verbis eam reprimit; alibi vero factis quoque coercet, ex quo fortaſſe docere voluit Poeta mulierem intolerabilem fore, nisi

Q

prudentiam; mulieribus non amplius habuit, quum eam hominibus dederit.

1. Ἀρχοντικῶς) Hoc adverbium apud Lexicographos non extat.

ὥρας ἐπιτιμωμένη· ὑποτάσσει δὲ διὰ τύτυ καὶ τὴν τῶν λοιπῶν πολυπραγμοσύνην.

υμή. Χραίσμωσι) Βοηθήσωσι. ἔςι δὲ ὑποτακτικῦ β ἀόριςος· τὸ θέμα χραισμῶ, ὁ β. ἀόριςος ἔχραισμον· γέγονε δὲ τὸ χραισμῶ ἀπὸ τῦ χρήσιμος, χρησιμῶ, συςολῇ τῦ η εἰ α. καὶ ἐν ὑπερβιβασμῷ τῦ ι χραισμῶ· τὸ δὲ χρήσιμος ἀπὸ τῦ χρήζω, ἢ ἀπὸ τῦ χρῶ, χρήσω, ἀφ' ὗ καὶ ἀχρεῖος.

υμθ'. Ἀάπτυς) Ἡρωδιανὸς παρὰ ἰάπτω, ὃ σημαίνει τὸ βλάπτω, κατ' ἔλλειψιν τῦ ι. καὶ πλεονασμὸν τῦ α. ἀάπτυς, ἃς ὐδεὶς βλάψαι δύναιτο· ἢ κατ' ἔλλειψιν τῦ ςερητικῦ, τὰς δυναμένας μεγάλως βλάψαι· τινὲς δὲ ὧν ὐδεὶς ἅψαιτο, ἢ ἅπτοιτο.

niſi tempore opportuno puniatur. Hiſce porro verbis reprimit etiam alios Deos, ſi qui ſtudio Junoni opem ferendi tenebantur.

448. Opitulabuntur; eſt autem ſubjunctivi aoriſtus ſecundus. Thema χραισμῶ, cujus aoriſtus ſecundus ἔχραισμον. Deſcendit autem χραισμῶ a χρήσιμος, ex quo χρησιμῶ, & per correptionem vocalis η in alpha, nec non per metatheſin literæ jota χραισμῶ. Vox autem χρήσιμος derivatur a χρήζω, vel a χρῶ, χρήσω, ex quo & ἀχρεῖος.

449. Herodianus eam vocem deducit a Ἰάπτω, quod ſignificat noceo, per defectum literæ jota, & pleonaſmum vocalis α ἀάπτους, quas nemo lædere poſſet. Vel per defectum vocalis α privativæ, quæ valde lædere poſſunt. Quidam vero ſic interpretantur, quas nemo attingeret, vel attingere poſſet.

Ὣς ἔφατ'· ἔδδεισεν δὲ βοῶπις πότνια Ἥρη.
Καί ῥ' ἀκέυσα καθῆςο, ἐπιγνάμψασα φίλον κῆρ.
Ὤχθησαν δ' ἀνὰ δῶμα Διὸς θεοὶ ὐρανίωνες·
Τοῖσιν δ' Ἥφαιςος κλυτοτέχνης ἦρχ' ἀγορεύειν,
Μητρὶ φίλῃ ἐπὶ ἦρα φέρων λευκωλένῳ Ἥρῃ,
Ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται, ὐδ' ἔτ' ἀνεκτά,
Εἰ δὴ σφὼ ἕνεκα θνητῶν ἐριδαίνετον ὧδε,
Ἐν δὲ θεοῖσι κολῳὸν ἐλαύνετον· ὐδέ τι δαιτὸς

Sic dixit. timuit autem magnis oculis veneranda Juno;
Et tacita ſedit, inflexo ſuo corde.
Moleſte autem tulerunt in domo Jovis Dii cœlicolæ.
Et inter eos Vulcanus inclytus artifex cepit concionari,
Matri ſuæ gratificans candidas ulnas habenti Junoni,
Certe peſtifera facta hæc erunt, nec amplius toleranda,
Si vos gratia mortalium contenditis ſic
Interque deos tumultum excitatis: neque ulla epuli

υν'. Καθῆςο) Τῦ ἕζω ἐςὶν ἡ κλίσις· ἕζω, ἧσμαι, ἥσμην, ἧσο, ἧςο· [1] οἱ δὲ τοιῦτοι παρακείμενοι, καὶ ὑπερσυν-

450. Derivatur ab ἕζω. ἕζω, ἧσμαι, ἥσμην, ἧσο, ἧςο. Hujuſmodi vero præterita, & pluſquam perfecta diſſyllaba,

1. Οἱ δὲ τοιῦτοι παρακείμενοι] Eadem habet Euſtathius ex veteribus. Οἱ δὲ παλαιοὶ φασ'

συντέλικοι δισύλλαβοι, ἔχοντες δύο σύμφωνα, ἐν τῇ συνθέσει φυλάσσουσι τὸν τόνον, κατῆρτο, ὥπως καθῆσο· ἐπιγνάμψασα δὲ τὸ ἀκουσίως πεισθεῖσα δηλοῖ· φίλον δὲ, τὸ ἴδιον, ὡς φίλα εἵματα. διδάσκει δὲ ὡς καὶ τὰ λίαν ἀσθενῆ, μὴ κολαζόμενα, λίαν εἰσὶ ἀφόρητα.

laba, quæ habent duas conſonantes, in compoſitis tonum ſervant, κατῆρτο & καθῆσο. Vox autem ἐπιγνάμψασα ſignificat invito animo obtemperans. Et φίλον idem ſonat, quod τὸ ἴδιον, *ſuum*, ut φίλα εἵματα. Docet autem ea etiam, quæ valde imbecilla ſunt, niſi coerceantur, valde moleſta, & intolerabilia eſſe.

υνά. Ἥφαιστος) Εἰ μὲν ἄνθρωποι ἦσαν, διὰ πρεσβυτικοῦ προσώπου τὴν στάσιν ἔλυσεν· ἀλλ᾽ ὅρα τὸ ἀξίωμα τοῦ Διός. Ποσειδῶν γὰρ συμβουλεύων, ἔδοξε παραλέγειν διʼ Ἕλληνας· ἄλλως τε καὶ αἰτίαν ἔχει εἰς Θέτιν· ὁμοίως καὶ Ἀθηνᾶ· βιωτικῶς οὖν διὰ τοῦ παιδὸς λύει τὴν στάσιν, καὶ τὸ κατηφὲς τοῦ συμποσίου, γελώμενον παρεισάγων τὸν Ἥφαιστον· καιρὸν δὲ δίδωσι Διῒ, χάριτας εἰδὼς τῇ Θέτιδι· εἰ [1] μή μ᾽ Εὐρυνόμη τε Θέτις θ᾽ ὑπεδέξατο κόλπῳ.

451. Si quidem homines fuiſſent, per ſenem aliquem contentionem diſſolviſſet. Sed vide Jovis majeſtatem. Si enim Neptunus hortatus eſſet, adulari & circumvenire, Græcorum gratia, viſus fuiſſet; præſertim quum propter Thetidem cauſſam id faciendi haberet. Similiter de Minerva dicendum. Prout ergo hujus vitæ moribus conſentaneum erat, per filium ſolvit diſſidium, & triſtitiam, qua convivæ affecti erant, ridiculum Vulcanum inducens. Tempus autem Jovi concedit, memor beneficiorum, quæ a Thetide accepit. *Niſi me Eurynomeque, Thetiſque in ſinum ſuſcepiſſent.*

υνβ΄. Ἐπίηρα) Ἔρανον καὶ ἦρανον, ὡς ἔχω ὄχανον, τὰ ἤρανα, καὶ κατὰ ἀποκοπὴν ἦρα. [2] Ἀρίσταρχος δὲ ὑφ᾽ ἓν φησιν· ἀντὶ δὲ τοῦ λευκωλένῳ Ἥρῃ, ὤφειλεν εἶναι [3] τετιημένη ἦτορ.

452. Ἔρανον & ἤρανον, ut ἔχω ὄχανον. pluralis nom. ἤρανα, & per apocopen ἦρα, *grata*. Ariſtarchus autem conjunctim ἐπίηρα profert; & pro λευκωλένῳ Ἥρῃ, *albis ulnis Junoni*, dicendum erat τετιημένη ἦτορ.

υνγ΄. Σφῶ) Πρωτόθετον αὐτήν φησιν Ἡρο-

453. Primitiva ea vox eſt juxta He-

δη, ὅτι τὸ καθῆσο προπερισπᾶται, ὡς ἀπὸ τοῦ ἵζω, ἧσμαι, ἀφ᾽ οὗ τὸ ἧσμην, ἧσο ἧστο, καὶ καθῆσο· οἱ γὰρ δισύλλαβοι παρακείμενοι, ἔχοντες δύο σύμφωνα, φυλάττουσι καὶ ἐν τῇ συνθέσει τὸν τόνον .... καθῆσο.

1. Εἰ μή μ᾽ Εὐρυνόμη] Iliad. XVIII. v. 368.

2. Ἀρίσταρχος ὑφ᾽ ἓν φησιν) Ariſtarchus ergo legit ἐπίηρα, ut habent editiones, alii tamen ſejunctim legunt ἐπὶ ἦρα, quorum ſententiæ congruit illud Iliad. ξ. θυμῷ ἦρα φέροντες.

3. Τετιημένη ἦτορ) Heſiodus φίλον τετιημένη ἦτορ, *ſuo mærens corde*, Theog. v. 163. & paſſim apud Homerum eadem phraſis occurrit.

Digitized by Google

Ἡρωδιανὸς, [1] οὐκ ἀπὸ τῆς σφῶϊ· διὸ ὀξύνεται. τὸ γὰρ ω τῶν δυϊκῶν ἀπέστραπται τὴν περισπωμένην· τοῦτο δὲ πρὸς ἔμφασιν τῶν προσώπων· τὸ δὲ ἕνεκα θνητῶν, πρὸς [2] ἐυτελισμὸν τῆς αἰτίας, τὸ δὲ ὧδε, δι᾽ αὔξησιν τῆς ἔριδος.

υνδ΄. Κολῳὸν) [3] Παρὰ τὸ κολοιός. ὁ δὲ Φιλόξενος παρὰ τὸ κλῶ, κλωὸς, καὶ κολωὸς, καὶ οὐδὲ προσγράφει τὸ ι· τοῦ δὲ κλῶ παράγωγον τὸ κλάζω.

Ἄλλο. ἀπὸ μεταφορᾶς τοῦ κολοιοῦ. θορυβῶδες γὰρ, καὶ κραυγαστικὸν τὸ ὄρνεον.

υνέ. [4] Ἥφαιστος ὁ Θεὸς, καὶ τὸ πῦρ, ὅτι Ἑρμοῦ βασιλεύσαντος εἰς Αἴγυπτον, καὶ θανόντος, Ἥφαιστος παραλαμβάνει τὴν βασιλείαν ἡμέρας αχπ. ὡς γίνεσθαι ἔτη δ. μῆνας ζ. ἡμέρας η΄. οὐκ εἴδησαν τότε Αἰγύπτιοι ἐνιαυτοὺς μετρῆσαι, ἀλλὰ τὴν περίοδον τῆς ἡμέρας ἐνιαυτὸν ἔλεγον· Ἦν δὲ μυστικὸς, καὶ πολεμικός· διὸ καὶ Θεὸν αὐτὸν ἐκάλουν, ὅστις πολεμῶν ἐπλήγη τὸν πόδα, καὶ γέγονε χωλός· ἔθηκε δὲ καὶ νόμον τοῖς Αἰγυπτίοις σωφροσύνης· οὐκ εἴδησαν γὰρ μονανδρεῖν αἱ τούτων γυναῖκες· ὑπὸ δὲ μυστικῆς εὐχῆς τὴν ὀξυλάμην ἀπὸ τοῦ ἀέρος ἐδέξατο, δι᾽ ἧς κατεσκεύασεν ἀπὸ σιδήρου ὅπλα πολεμικὰ, καὶ γεωργικὰ ἐρ-

Herodianum, non a σφῶϊ deducta; ideoque acuitur. Omega enim in dual. circumflexum mutat: hoc autem dicitur ad emphaſin perſonarum. Illud ἕνεκα θνητῶν, cauſſa mortalium apponitur ad extenuandam cauſſam, hoc autem ὧδε ad augendam contentionem.

454. Deſcendit a κολοιός, *graculus*. Philoxenus autem deducit a κλῶ, κλωὸς, & κολωὸς, neque jota adſcribit; a κλῶ autem per paragogen fit κλάζω, *rumpo*.

Aliud. Sumta metaphora a graculo; hæc enim avis magnum clamorem ac ſtrepitum edit.

455. Vulcanus. Deus, & ignis. Poſt obitum Mercurii, Regis Aegypti, Vulcanus regnum ſuſcepit (& regnavit) dies 1680. ideſt, annos quatuor, menſes ſeptem, dies octo. Tunc enim Aegyptii annorum formas, & dimenſiones non norant, ſed unius diei ſpatio annum definiebant. Erat autem arcanorum religionis peritus, & bellicoſus. Unde & Deum ipſum vocarunt. Hic in prælio vulnus in pede accepit, & claudus factus eſt. Idem etiam Aegyptiis vitæ caſtæ legem tulit. Nam antea uxores eorum matrimonium cum uno viro ignorabant. Myſticis etiam precibus

1. Οὐκ ἀπὸ τῆς σφῶϊ] Aperte pugnat Herodianus contra Euſtathium, qui conſtanter adſerit fieri per apocopen a σφῶϊ, quod etiam placet Barneſio.

2. Πρὸς ἐυτελισμὸν) Vox ἐυτελισμὸς apud Lexicographos non extat. Deſcendit autem ab ἐυτελίζω extenuo, ἐυτελίσω, ἐυτέλικα, ἐυτέλισμαι, ἐυτελισμός.

3. Παρὰ τὸ κολοιός) Hinc proverbium apud Lucianum κολοιὸς ἀλλοτρίοις πτεροῖς ἀγάλλεται, & apud Ariſtotelem Rhet. 1. ἀεὶ κολοιὸς παρὰ κολοιόν. Eandem porro Philoxeni ſententiam affert Varinus, qui ex Euſtathio depromſit; animadvertimus autem Varinum magna ex parte ex Euſtathii verbis Lexicon ſuum concinnaſſe.

4. Ἥφαιστος ὁ Θεὸς καὶ τὸ) Totum illud ſcholion iiſdem omnino verbis extat apud Suidam in

ἐργαλεῖα· πρὸ γὰρ αὐτοῦ, μετὰ ῥοπάλων, καὶ λίθων ἐπολέμουν.

cibus forcipem de cælo accepit; cujus ope arma ferrea, & inſtrumenta ruſtica fabricavit. Nam ante ipſum fuſtibus & ſaxis bellum gerebant.

Ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ·
Μητρὶ δ' ἐγὼ παράφημι, καὶ αὐτῇ περ νοεούσῃ

Πατρὶ φίλῳ ἐπίηρα φέρειν Διΐ, ὄφρα μὴ αὖτε
Νεικείῃσι πατήρ, σὺν δ' ἡμῖν δαῖτα ταράξῃ,
Εἴπερ γάρ κ' ἐθέλῃσιν Ὀλύμπιος ἀστεροπητὴς
Ἐξ ἑδέων στυφελίξαι· ὁ γὰρ πολὺ φέρτατός ἐστιν.

Ἀλλὰ σὺ τόν γ' ἐπέεσσι καθάπτεσθαι μαλακοῖσι
Αὐτίκ' ἔπειθ' ἵλαος Ὀλύμπιος ἔσσεται ἡμῖν·

Boni erit voluptas, quoniam pejora vincunt.
Matri autem ego ſuadeo & ipſi licet intelligenti,
Patri caro obſequium præſtare Jovi, ne iterum
Objurget pater, & nobis convivium conturbet.
Si enim vult Olympius fulminator
Ex ſedibus deturbare. Is enim longe potentiſſimus eſt.
Sed tu hunc verbis demulceto mollibus:
Statim deinde placidus Olympius erit nobis.

υνϛ. Ἦδος) Τὸ ἦδος ψιλωτέον, [1] ὡς τροχαϊκόν·

456. Vox ἦδος tenuanda eſt, quippe quæ trochaica eſt.

υνζ'. Παράφημι) Τὸ ἠμὶ, φημὶ, εἰμὶ ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον.

457. Verba ἠμὶ, φημὶ, εἰμὶ in compoſitione tonum in præcedentem rejiciunt.

υνή. Νοεούσῃ) Οὐ δεομένῃ παραινέσεως τινός. Ὁ δὲ κοινῇ μὲν ἀμφοτέρους ἐπιπλήττει, ἕνεκεν ἀνθρώπων διαφερομένους, ἰδίᾳ δὲ τῇ Ἥρᾳ εἴκειν τῷ Διῒ παραινεῖ.

458. Quæ nulla adhortatione indiget. Ille porro communiter quidem reprehendit utrumque, ex eo, quod ii hominum cauſſa inter ſe contenderent; peculiariter autem hortatur Junonem, ut Jovi cedat.

υνθ'. Ἐθέλῃσιν) Θωπευτικῶς τὰ τῆς δυνάμεως αὐτοῦ προβάλλεται, ἅμα δὲ καὶ πρὸς κατάπληξιν τῆς μητρός. τὸ δὲ ὅλον· [2] εἰ θέλει καταβαλεῖν ἡμᾶς ὁ Ζεύς· δυνήσεται γάρ, σὺ δὲ θωπεύσεις αὐτὸν, εὐθέως ἡμερωθήσεται· τοσαύτην δὲ τοῦ Διὸς δείκνυσι πρὸς τοὺς Θεοὺς ὑπεροχὴν, ὅση πρὸς ἀνθρώπους ἐστὶ Θεῶν.

459. Partim ut Jovi blandiatur ejus potentiam in medium profert, partim ut Junonem matrem perterrefaciat. Senſus autem integer eſt; ſi voluerit nos dejcere Jupiter, profecto poterit; tu tamen ſi ei blandiaris, ſtatim placabitur, manſuetuſque fiet. Oſtendit autem Jovem potentia ſua tantum excellere Diis, quantum ipſimet Dii excellunt hominibus.

Ὡς ſic

voc. Ἥφαιστος. Vide, ſi placet, notas ibidem Ludovici Kusteri, cujus verſionem retinere viſum eſt.

1. Ὡς τροχαϊκόν) Hinc regula generalis trochaica omnia tenuantur, a qua excipienda [illegible] p[illegible] ὅπω, ἧλος, & ἦπαρ.

2. Εἰ θέλει καταβαλεῖν ἡμᾶς ὁ Ζεύς· δυνήσεται γάρ) Videtur Interpres novam quandam inter-

Digitized by Google

Ὥς ἄρ' ἔφη· καὶ ἀναΐξας, δέπας ἀμφικύπελλον
Μητρὶ φίλῃ ἐν χερσὶ τίθει· καί μιν προσέειπε,

Τέτλαθι μῆτερ ἐμὴ, καὶ ἀνάσχεο, κηδομένη περ,

Μή σε, φίλην περ ἐοῦσαν, ἐν ὀφθαλμοῖσιν ἴδωμαι

Θεινομένην· τότε δ' οὔτι δυνήσομαι ἀχνύμενός περ

Χραισμεῖν· ἀργαλέος γὰρ Ὀλύμπιος ἀντιφέρεσθαι·
Ἤδη γάρ με καὶ ἄλλοτ' ἀλεξέμεναι μεμαῶτα
Ῥῖψε ποδὸς τεταγὼν ἀπὸ βηλοῦ θεσπεσίοιο.

Sic dixit: & ſurgens poculum rotundum
Matri ſuæ in manibus poſuit: & eam allocutus eſt,
Fer patienter mater mea, & ſuſtine, quamvis doleas
Ne te, dilecta ſis licet, his oculis videam
Vapulantem: tunc enim non potero, quamvis doleam,
Juvare difficilis enim Olympius cui reſiſtatur.
Jam enim me & alias adjuvare cupientem
Dejecit, pede prehenſum, de limine divino.

υξ'. Ἀναΐξας) Γέλωτα κινεῖ τὸ ἀναΐξας, ἐπὶ χωλοῦ τιθέμενον· γελοῖος δέ ἐστι μιμούμενος τοὺς καλλίστους οἰνοχόους, Ἥβην, καὶ Γανυμήδεα, καὶ μεμνημένος πῶς ὁ Ζεὺς τοῦ ποδὸς λαβόμενος, ἔῤῥιψεν αὐτὸν οὐρανόθεν.

460. Riſum movet illud ἀναΐξας, *impetu ſurgens*, de claudo uſurpatum. Ridiculus item eſt dum imitatur pulcherrimos pocillatores, Heben & Ganymedem, & commemorat quomodo Jupiter, quum pedem prehendiſſet, cælitus eum dejecerit.

υξα' Τέτλαθι) Ὅτε κατεπράϋνε τὸν θυμὸν, τότε καὶ τὴν ἰδίαν παραίνεσιν ἐπήγαγεν.

461. Quum ejus iram lenierit, tum demum adhortationem ſuam induxit.

υξβ'. Βηλοῦ) Τινὲς κατὰ χαλδαίους τὴν ἀνωτάτω τοῦ οὐρανοῦ περιφέρειαν, οἱ δὲ κατὰ Δρύοπας, τὸν Ὄλυμπον· ἄμεινον δὲ τὸν βατῆρα λέγειν.

462. Quidam juxta Chaldæos, ſupremam cæli circumferentiam interpretantur; alii juxta Dryopas Olympum; ſed ſatius erit ſi dixerimus limen ſignificare.

Ἄλλο. βηλός ἐστιν ὁ ἀνώτατος τόπος τοῦ οὐρανοῦ· ἀπὸ γὰρ τοῦ βεβηκέναι τοὺς Θεοὺς ἐν αὐτῷ, καὶ τοὺς ἀστέρας κεῖθι βαίνειν εἴρηται· ἕτεροι δὲ βηλὸν εἶπον τὸν ἀνώτατον τόπον, καὶ περιέχοντα πάντα ἀέρα· ἄλλοι τὴν περίοδον τοῦ αἰθέρος, καὶ τῶν ἄστρων. κοινῶς δὲ σημαίνει ὁ βηλὸς τὸν οὐδὸν τῆς θύρας, ἤτοι τὴν φλιάν· ὁ γὰρ ποιητὴς ὑποτίθεται τὸν οὐρανὸν πύλας ἔχοντα· εἴρηται δὲ βηλὸς ἀπὸ τοῦ βαίνεσθαι, ὡς καὶ οὐδὸς ἀπὸ

Aliud. Βηλὸς eſt ſupremus cæli locus; ex eo enim ſic appellatur, quod in eo Dii, & ſtellæ incedant. Sunt qui hoc nomine ſupremum locum omnemque circumplectentem aerem intelligant; alii aſtrorum & ætheris ambitum. Communiter autem hoc nomen βηλὸς ſignificat januæ limen, ſive τὴν φλιάν. Poeta enim fingit cælum januas habere. Dicitur autem βηλὸς a βαίνεσθαι, quemad-

pretationem ad eum locum afferre, quam nemo alius tradidit. Quidam enim explicant per ἔλλειψιν, ut ſubaudiatur ἀνύσει ὃ ἐθέλει, *perficiet quod vult*, vel συφελίξει, *evertet*; alii interpretantur εἴπερ ἐθελήσει Ὀλύμπιος, πάντως ἂν συφελίξαι. Scholiaſtes vero noſter videtur illud γάρ· ὃ γὰρ πολὺ φέρτερός ἐστι, pro δὴ, *ſane*, *profecto*, accipere.

ἀπὸ τοῦ ὀδεύεσθαι· καὶ [1] Πανύασις δὲ τὰ πέδιλα βῆλα λέγει· [2] Παρμενίων δὲ ὁ γλωσσογράφος φησὶν Ἀχαιοὺς καὶ Δρύοπας καλεῖν τὸν Οὐρανὸν βηλόν· Κράτης δὲ περισπῶν τὴν πρώτην συλλαβὴν, χαλδαϊκὴν εἶναι τὴν λέξιν ἀποδίδωσιν· Ἀγαθοκλῆς δὲ τὴν πάντων περιοχὴν, καὶ βεβηκότας φέρειν τοὺς ἀπλανεῖς ἀστέρας.

madmodum ὁδὸς ab ὁδεύεσθαι. Et Panyaſis calceamenta βῆλα appellat. Parmenio vero, qui gloſſematum interpretationes ſcribit, refert Achivos & Dryopas eo nomine cælum vocare; Crates circumflectens priorem ſyllabam, Chaldaicam eſſe vocem tradit; Agathocles denique intelligit univerſorum ambitum, & fixas ferentem ſtellas.

Πᾶν δ' ἦμαρ φερόμην, ἅμα δ' ἠελίῳ καταδύντι
Κάππεσον ἐν Λήμνῳ (ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν)
Ἔνθα με Σίντιες ἄνδρες ἄφαρ κομίσαντο πεσόντα.
Ὣς φάτο· μείδησεν δὲ Θεὰ λευκώλενος Ἥρη·
Μειδήσασα δὲ, παιδὸς ἐδέξατο χειρὶ κύπελλον.
Αὐτὰρ ὁ τοῖς ἄλλοισι Θεοῖς ἐνδέξια πᾶσιν
Οἰνοχόει, γλυκὺ νέκταρ ἀπὸ κρητῆρος ἀφύσσων.
Ἄσβεστος δ' ἄρ ἐνῶρτο γέλως μακάρεσσι Θεοῖσιν.
Ὡς ἴδον Ἥφαιστον διὰ δώματα ποιπνύοντα.
Ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα

Totumque diem ferebar; & una cum ſole occidente
Cecidi in Lemnum [parum autem jam animæ inerat]
Ibi me Sinties viri ſtatim exceperunt cadentem.
Sic dixit: riſit autem dea candidas ulnas habens Juno:
Et ſubridens, a filio accepit manu poculum.
Cæterum is reliquis diis a dextra exorſus omnibus
Fundebat dulce nectar ex cratere hauriens.
Immenſus autem excitatus eſt riſus beatis Diis,
Ut viderunt Vulcanum per ædes miniſtrantem.
Sic tunc totum diem uſque ad ſolem occidentem

υξγ'. Πᾶν δ' ἦμαρ) Πῶς τῶν ἄλλων Θεῶν ἀπὸ τοῦ οὐρανοῦ οὐ φερομένων ῥιπῇ, Ἥφαιστος δι' ὅλης ἡμέρας φέρεται; φαμὲν οὖν ὅτι πᾶν δ' ἦμαρ οὐ δηλοῖ τὸν ἀπὸ πρωΐας μέχρις ἑσπέρας καιρὸν, ἀλλὰ τὴν πελάζουσαν τῇ νυκτὶ ὥραν, ὡς καὶ ἀλλαχοῦ· οἱ δὲ πανημέριοι μολπῇ Θεὸν ἱλάσκοντο, καὶ τὰ ἑξῆς· πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα δαίνυντο.

463. Quomodo quum alii Dii e Cælo non ferantur ejecti, Vulcanus per totam diem fertur? Dicimus igitur vocem πᾶν δ' ἦμαρ non ſignificare a mane uſque ad veſperam tempus, ſed nocti appropinquantem horam, ut & alibi. *& illi totum diem cantu Deum placabant: totum diem uſque ad ſolem occidentem.*

υξδ'. Ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν) Εἰ ἐλαττοῦταί φασι τὸ Θεῖον, καὶ τέλεον

464. Si Deus, ajunt, imminutionem patitur, ejus quoque perfectio

1. Πανύασις δὲ τὰ πέδιλα βῆλα λέγει) Hinc corrige Etymologum, apud quem legitur Πανύασις δὲ τὰ πέδια βαίολα λέγει, quæ fortaſſe vel imperitia eorum qui MSS. Codices non bene intellexerunt, vel typographorum incuria irrepſerunt.

2. Παρμενίων δὲ κ. τ. λ.) Quæ ex Parmenione, Cratete, & Agathocle hoc loco afferuntur, apud eundem Etymologum deſunt: Ex Cratete Varinus & Euſtathius hæc habent ἰστέον ὅτι ὁ Κράτης [ὥς φασιν οἱ παλαιοὶ] τὸ βηλοῦ, ὅ ἐστι βαθμοῦ, βαρυτόνως ἀναγινώσκει βῆλα, ὡς ἴλα, quæ, ut vides, a MS. noſtro diſcrepant.

λεον ἐπιλείψει, ἀγνοῦντες ὅτι πολλαὶ τῶν ἐν τῷ φύσεις μειοῦνται μὲν, οὐκ ἐλλείπουσι δὲ τέλεον· καὶ γὰρ καὶ αὐχμῶν πλεοναζόντων, μειοῦται τὸ ὑγρὸν, ἀλλ' οὐκ ἐπιλείπει· καὶ Ἄρης μόγις δὲ ἐσεγείρατο θυμόν.

ctio deficiat neceſſe eſt, ignorantes pleraque in hoc mundo imminutionem quidem ſubire, minime tamen perfectionem amittere. Etenim æſtuante calore extenuatur quidem humiditas, minime tamen deficit. De Marte quoque dicitur, μόγις δ' ἐσεγείρατο θυμόν.

υξέ. Σίντιες) 1 Φιλόχορός φησι Πελασγοὺς αὐτοὺς ὄντας, οὕτω προσαγορευθῆναι, ἐπεὶ πλεύσαντες εἰς Βραύρωνα, κανηφόρους παρθένους ἥρπασαν· σίνεσθαι δὲ, τὸ βλάπτειν λέγουσιν· Ἐρατοσθένης δὲ, ἐπεὶ γόητες ὄντες, εὗρον δηλητήρια φάρμακα· ὁ δὲ Πορφύριος, ἐπεὶ πρῶτοι τὰ πολεμιστήρια ἐδημιούργησαν ὅπλα, ἃ πρὸς βλάβην ἀνθρώπων συντελεῖ, ἢ ἐπεὶ πρῶτοι λῃστείας ἐξεῦρον

465. Philochorus aſſerit Pelaſgos eos eſſe, ita denominatos, quia quum Bravronem navigaſſent, virgines caniſtra gerentes rapuerunt. σίνεσθαι autem nocere dicunt. Eratoſthenes vero inde denominationem traxiſſe ait, quia quum circulatores eſſent, lethalia venena invenerunt. Porphyrius denique, quia primi bellica arma conſtruxerunt, quæ ad hominum nocumentum conferunt, vel quia primi latrocinia excogitarunt.

υξϛ'. Μειδήσας) Παρὰ τὸ μειδιῶ, παρὰ τὸ τὸν μέσον διϊέναι τὸν γέλωτα.

466. Ἀμειδιῶ, ex eo quod ad medium riſum pertingat.

υξζ'. Κύπελλον) ποτήριον. γίνεται δὲ παρὰ τὸ κύφος, ἢ παρὰ τὸ κύπτω, τὸ κεκυρτωμένον, καὶ περιφερές. ἢ παρὰ τὸ χύειν τὸν πηλὸν, τουτέστι τὸν οἶνον· πηλὸς δὲ παρὰ Ἀττικοῖς ὁ οἶνος, παρὰ τὸ πάλλειν τὰς φρένας, καὶ τὰς καρδίας τῶν πινόντων τοῦτον πολύν· ἀφ' οὗ καὶ κάπηλος, παρὰ τὸ κακύνειν τὸν πηλὸν, ἤγουν τὸν οἶνον.

467. Poculum. Fit a κύφος, vel a κύπτω, quod videlicet concavum & rotundum eſt; vel ex eo, quod effundat τὸν πηλὸν, hoc eſt vinum. Attice enim vinum πηλὸς dicitur, ex eo, quod quatiat mentem, & cor eorum, qui nimium bibunt, ex quo & κάπηλος, inde dictus, quia corrumpit, & adulterat τὸν πηλὸν, hoc eſt vinum.

υξή. 469.

1. Φιλόχορός φησι) Hæc ex Philochoro apud Etymologum, Euſtathium, & Varinum non extant; cætera ſine Porphyrii, & Eratoſthenis nominibus apud eoſdem aliis verbis reperiuntur. Quænam vero eſſent virgines κανηφόροι, quarum eo loco meminit Philochorus, docet Philochorus ipſe apud Suidam in voc. κανηφόροι. Φιλόχορός φησιν, ὡς Ἐριχθονίου βασιλεύοντος πρῶτον κατέστησαν αἱ ἐν ἀξιώματι παρθένοι φέρειν τὰ κανᾶ τῇ Θεῷ· ἐφ' οἷς ἐπέκειτο τὰ πρὸς τὴν θυσίαν τοῖς τε Παναθηναίοις, καὶ ταῖς ἄλλαις πομπαῖς. *Caniſtriferæ. Philochorus ait, Erichthonio regnante virgines nobiles primum lectas fuiſſe, quæ Panathenæis & in aliis pompis Minervæ caniſtra ferebant, in quibus inerant ea, quæ ad ſacrificia pertinebant.*

υξή. Νέκταρ) παρὰ τὸ νὲ ϛερητικὸν, καὶ τὸ κτῶ, τὸ φονεύω, τὸ μὴ τοῖς κτεινομένοις, ἀλλὰ τοῖς ἀθανάτοις διδόμενον.

υξθ'. Ἥφαιϛος) Δασύνεται τὸ Ἥφαιϛος· παρὰ γὰρ τὸ ἅπτω ἐϛὶν, ὅθεν καὶ Ἥβη· τὸ δὲ ποιπνύοντα ἐκ τοῦ πονῶ, πονύω, ποπνύω, ποιπνύω.

υό. Πρόπαν ἦμαρ) Τὸ ὑπόλοιπον πάσης τῆς ἡμέρας. τὸ δὲ ἐς ἠέλιον καταδύντα, ἀττικόν ἐϛιν.

Δαίνυντ' οὐδ' ἔτι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης,

Οὐ μὲν φόρμιγγος περικαλλέος, ἣν ἔχ' Ἀπόλλων,
Μουσάων θ', αἳ ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ.

Αὐτὰρ ἐπεὶ κατέδυ λαμπρὸν φάος ἠελίοιο,
Οἱ μὲν κακκείοντες ἔβαν οἶκόνδε ἕκαϛος,

Ἧχι ἑκάϛῳ δῶμα περικλυτὸς ἀμφιγυήεις
Ἥφαιϛος ποίησ' εἰδυίῃσι πραπίδεσσι·
Ζεὺς δὲ πρὸς ὃν λέχος ἤι' Ὀλύμπιος ἀϛεροπητὴς,

Ἔνθα πάρος κοιμᾶθ', ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι·
Ἔνθα καθεῦδ' ἀναβάς· παρὰ δὲ χρυσόθρονος Ἥρη.

υοά. Ἀπόλλων) Εὖ τὸ μὴ ἀπειροκάλως ἐπιμηκῦναι τὴν ᾠδὴν, ἀλλ' αὐτὸν, εἶτα μούσας ᾆσαι.

υοβ'. Μουσάων θ') Ὥσπερ τῆς εὐωχῆς οὐκ ἦσαν ἐνδεεῖς οἱ Θεοὶ, οὕτως οὐδὲ τῆς τοῦ Ἀπόλλωνος μουσικῆς· ὁμοίως οὐδὲ τῆς τῶν μουσῶν ᾠδῆς, αἵτινες καὶ αὐται Ἀπόλλωνος κιθαρίζοντος ἐκ διαδοχῆς παρὰ μέρος ᾖδον· [1] τέσσαρες δὲ ἀνατίθενται τῷ Ἀπόλλωνι τέχναι, μουσικὴ, τοξικὴ, μαντικὴ, ἰατρική.

υογ'. Ἦχι) Τὸ ἦχι χωρὶς τοῦ ι κελεύει

468. A νὲ particula privativa, & a κτῶ, quod ſignificat interficio, quod videlicet non datur iis qui decedunt, ſed immortalibus.

469. Aſpiratur vox Ἥφαιϛος, quia manat ab ἅπτω, ex quo etiam Ἥβη, *Hebe*. Vox autem ποιπνύοντα a πονῶ, πονύω, ποπνύω, ποιπνύω.

470. Reliquum omne diei; illud autem ἐς ἠέλιον καταδύντα, Atticorum eſt.

Convivabantur: neque amplius animus indiguit dapibus æqualibus.
Nec cithara perpulchra, quam tenebat Apollo,
Muſiſque, quæ canebant, alternantes voce pulchra.
Cæterum poſtquam occidit ſplendida lux ſolis,
Hi quidem decubituri abierunt domum unuſquiſque,
Ubi ſingulis domum inclytus pedes claudus
Vulcanus fecerat ſolertibus præcordiis:
Jupiter autem ad ſuum lectum abiit Olympius fulgurum auctor,
Ubi antea dormiebat, quando ipſum dulcis ſomnus invaderet:
Illic dormivit cum aſcendiſſet: juxtaque autem eum ſolium habens Juno

471. Recte illud ſe habet, quod videlicet Apollo non protraheret inepte cantum, ſed primum ipſe, deinde muſæ alternis vicibus canerent·

472. Quemadmodum Dii convivio non indigebant, ſic neque Apollinis muſica, neque muſarum cantu, quæ videlicet, Apolline citharam pulſante, alternatim canebant. Quatuor autem Apollini artes dicatæ ſunt, muſica, jaculandi vaticinandique ars, & medicina.

473. Vocem ἦχι abſque jota ſcriben-

1. Τέσσαρες δὲ ἀνατίθενται τῷ Ἀπόλλωνι τέχναι) Ab his quatuor artibus eleganter Callima-

λίνει γράφεσθαι Διονύσιος, καὶ παράγει Δωριεῖς ἄχι λέγοντας.

υοδ'. Ἀμφιγυήεις) Ὁ ἀμφοτέρωθεν βεβλαμμένος, παρὰ τὸ γυῶ, τὸ τὰ μέλη ἐκλύω, ἐπειδὴ τὸ πῦρ πολλῆς δεῖται τῆς ὕλης.

υοέ. Καθεῦδ' ἀναβὰς) Ἀνέβη καθευδήσων, ἢ ἀνεκέκλιτο. τὸ δὲ καθεῦδε προπερισπωμένως· ἐφύλαξε γὰρ ἡ σύνθεσις τὸν τόνον. διδάσκει δὲ μὴ χωρίζεσθαι ἄνδρα γυναικὸς ἐν κοίτῃ, ὡς μὴ τῇ ἀπουσίᾳ λυπήσῃ αὐτόν.

benda præcipit Dionyſius, adducitque Dorienſes ἄχι proferentes.

474. Qui utroque pede læſus, hoc eſt claudus erat, a γυῶ, quod ſignificat membra diſſolvo; quandoquidem ignis multa indiget materia.

475. Aſcendit cubitum, vel ibi reclinavit. Verbum autem καθεῦδε circumflexo in penultima profertur; compoſitio enim tonum ſervat. Docet porro virum a muliere in lecto non ſeparari, ne propter ſeparationem, & abſentiam moleſtia eum mulier afficiat.

---

chus Apollinem laudat, quatuor hiſce carminibus, quæ hic referre non pigebit. Hym. in Apol.

Κεῖνος δ' ἐςευτὴν ἔλαχ' ἀνέρα, κεῖνος ἀοιδόν.
Φοίβῳ γὰρ τόξον ἐπιτρέπεται καὶ ἀοιδή.
Κείνυ δὲ θριαὶ, καὶ μάντιες, ἐκ δέ τυ Φοίβυ
Ἰητροὶ δεδάασιν ἀνάβλησιν θανάτοιο.
Ille ſagittatorem ſortitus eſt virum, ille poetam.
Phœbo enim & ſagitta cura eſt, & carmen.
Illius autem ſunt calculi ſortilegi, & vates.
Ex Phœbo item medici didicerunt diſerre mortem.

F I N I S.

Addenda & emendanda, ubi nonnulla loca obſcura clarius exponuntur.

PAg. 19. linea 13. εὐχωλὴ, adde vox autem ἑκατόμβη fit ab ἑκατὸν & βῦς. pag. 36. lin. 16. ἐνδεικνύμενος τὴν ἀρχὴν πᾶσιν ἀπεχθάνεσθαι, μάλιςα δὲ τοῖς Ἀχιλλέως. Quum de hoc loco dubitarem, conſului Codicem, in quo lego ἐνδεικνύμενος τὴν ἀρχὴν, πᾶσιν ἀπεχθάνεται. itaque interpretor *oſtentans imperium, omnibus inviſus efficitur, maxime vero Achillis ſociis*. pag. 56. lin. 1. σφριγῶν, lege σφριγῶν. pag. 57. lin. 22. λαβὲ, lege λαβὲ. p. 60. l. 12. καὶ ταῖς ναυσὶν ἐπαυλιζόμενοι· expone, ſi placet, *& prope naves ſtationem deduxerunt*. p.62. l.23. ὑποςικτέον. expone, ſi mavis, *commate diſtinguenda*. p. 71. l. 7. παῤῥισιάζεται, lege παῤῥησιάζεται· p.73. l.32. ἄρχεο, lege ἀνάσσειν. p.81. l.30. βλυθῶσι, adde χαλεπαίνουσι. p.83. l.26 απαλάττεται, lege ἀπαλλάττεται. p.84. l.19. ὀρίγων, lege ὀρίγων. p.86. l. 2. ἐπιγομένης, lege ἐπειγομένης· p.87. l.20. *terræ motor*, repone *terram continens*. p. 88. l. 118. Thebas profectus, deme vocem *Thebas*. p.91. l.29. ἐναλάσσουσι, lege ἐναλλάσσουσι· p.92. l.8. τὸν ἀέρα φύσιν ἔχοντα μεταβάλλειν εἰς ὕδωρ, τότε μάλιςα ἐξυγραίνεσθαι. expone, ſi mavis, *aerem naturaliter aptum ut vertatur in aquam, tunc maxime madeſieri*. p. 22. linea poſtrema τὰς παρὰ θεοῖς, lege τὰς παρὰ Θεοῖς. p.114. l.11. ἴψατο, lege ἥψατο· p.120. l.22. σημαίνει, lege σημαίνειν.

Digitized by Google

Digitized by Google

Digitized by Google

005663175
Digitized by Google

Digitized by Google